ἀριθ. 17

Σεβαστοῦ Κυμινήτου

Περὶ τοῦ μυστηρίου

τῆς εὐχαριστίας

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΒΙΒΛΙΟΘΗΚΗ
ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ
026000339910

Κω. 11

152 Κω Δ. Παλαιακ. βιβλ. – Α 146
147

φ. 354α – 398β (ολόκληρ(ον)) του 1743 ο Κομν. απέθανε τω 1702

...νήτης Σεβαστός. Ἐπιγράμματα 29 εἰς διάφορα πρόσωπα κ. πράγματα

Docum. σ. 4..
...γμα ἐπιτάφιον εἰς τὸν ἐν μακαρίᾳ τῇ λήξει ἐν διδασκάλοις ἀοίδιμον κὺρ Σεβαστόν, ...

...ρὰ τοῦ ἐξοχωτάτου ἐν ἰατροφιλοσόφοις κ. κ. Ἰωάννη τοῦ Κομνηνοῦ (ἴδ. Κων. Σάθα ...

...ειά σ. 189 κ. Κυριακίδη βιογρ. σ. 67-8)

...αμιας ἐν Docum. (σ. 209-247) δημοσιεύει 7 λόγους ἐπιφωνητικούς

... χρόνῳ ὢν ἐν Βουκουρ. σχολαρχίᾳ αὐτοῦ καὶ ἐπισήμους ἑορτὰς κ. περ...

... τῶν ἡγεμ. Σερμπάνου Καντακουζ. κ. Κων. Βασσαράβα. μεταξὺ τοῦ 1676-...

...άρχουσι κ. ἄλλοι λόγοι ἀνέκδοτοι (αὐτ. Προλ. 18). Ἡ τοῦ Σεβαστοῦ

...χολαρχία φαίνεται διαρκέσασα ἀπὸ τοῦ ἔτους 1676-82 ὅτε σπασμωδικῶς ...

...αὐτῇ παρὰ τῶν μαθητῶν ... τὰ κατάλοιπα τῇ σχολαρχίᾳ, ... ὅτε μετ...

...ήνει εἰς Τραπεζοῦντα κ. ... ἐπ. φροντιστήριον οὗ σχολάρχης ...

... 1683-89. .. περὶ τὸ ἔτος 1690 μετέβη προσκληθεὶς εἰς Βουκ. ὅπου ...

...άρχης διορισθεὶς τοῦ ἐν τῇ μονῇ τοῦ αγ. Σάββα ἐπ. αὐθ. φροντ. ἀπεβίωσε

... 6 Σεπτ. 1709. (τὸ βιβλ. τοῦ αγίου ... εἰς τὴν πατρίδα του εἰς τὴν μητρόπολιν) ...

προσφ. κ. λόγοι
17-1
...κατάλογον τῶν συγγραμμάτων ἐν σ. 1ε - κη'. τὸ ὅλον 107 κ. ...

...πιγράμματα β. (εἰς φάκελλον Παιδεία) Ὑποσχ.:Τεν

1.

φ. 139α Τῷ εὐλαβεστάτῳ, ἱερολογιωτάτῳ, ἀγχινουστάτῳ κ(αὶ) κατὰ πάντα μοι ἐν Χριστῷ ἐρασμιωτάτῳ κυρίῳ Χρυσάνθῳ, ἀρχιδιακόνῳ τοῦ μακαριωτάτου ἡμῶν αὐθέντου κ(αὶ) δεσπότου κυρίου κυρίου Δοσιθέου, πᾶν ἐν Χριστῷ καταθύμιον.

## Περὶ τοῦ μυστηρίου τῆς εὐχαριστίας*.

Ὑπὲρ μὲν οὖν ὧν πρὸ τοσούτου γράφεις ἡμῖν, ἀξίως τῷ ὄντι τῆς σῆς ἀγχινοίας, ἐφ' οἷς ἡμῖν ῥᾳθυμίαν ἐγκαλεῖς, κ(αὶ) τὴν ἡμετέραν σιωπὴν ἱκανὴν εἶναί σοι παιδείαν[1] προσφιλοσοφεῖς· ἐφ' οἷς τε[2] τοῦ λοιποῦ μηκέτι ἐν τοῖς αὐτοῖς μένειν ἀξιοῖς ἡμᾶς, ἔστω σοι πρὸς ἀπάντησιν ἀποχρώντως, ὧν γράφεις, κ(αὶ) ὧν αἰτεῖς τὰ εἰκότα λεχθέντα τε κ(αὶ) ὑποτεθέντα. Περὶ δὲ τοῦ κινηθέντος ἐξῆς προβλήματος τῆς μετουσιώσεως τοῦ ἄρτου κ(αὶ) τοῦ οἴνου εἰς σῶμα ἀληθὲς κ(αὶ) αἷμα ἀληθὲς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ προὔργου δεῖν ἔγνων διαλαβεῖν, ἀναγκαῖον τῷ ὄντι σύμμεμαγος τοῖς εὐσεβεῖν αἱρουμένοις· οἶδα μὲν γάρ σου τὸν σκοπόν· εὖ οἶδ', ὦ χρυσοῦν τῶν

* Ἐκ τοῦ Λαυριωτικοῦ κώδικος Ω 119 φ. 139α – 161α

Β: Βασιλείου Ἀγχιάλου (νῦν Οἰκ. Πατριάρχου) δημοσίευσις ἐν τῇ Ἐκκλ. Ἀληθείᾳ Ἔτ. Α' (1881) σ. 243-246 κ(αὶ) 247-255 ἀλλ' αὕτη εἶναι ἐπιτομὴ μόνον.

1 παιδαγωγίαν Β. 2 κομψῶς μάλα διὰ τῆς Κλωθοῦς τὴν ἀντίρρησιν προκαταλαμβάνει κ(αὶ) ἐν' οἷς Β.

ἡμῶν ἐκείνων ἄνθος, οὐχ ὡς παρ' ἡμῶν τι τῶν χρησίμων περὶ τοῦ τοιούτου προβλήματος [μα]θησομένου, τῶν μηδεμίαν σπουδὴν περὶ τὰ τοιαῦτα καταβεβλημένων (εἰδόσι λέγω)[1] ἄλλως τε καὶ ὡς νῦν ἐν Κωνσταντινουπόλει τοσούτων εὐπορούντων καὶ ἐπιστημόνων διδασκάλων τά τε ἄλλα, περὶ δὲ τὰ τοιαῦτα ἐμπειροτάτων· πρόφασιν δὲ εἶναι ἄλλως γραμμάτων ἔρωτος οὐκ ᾤηθην δεῖν ὑποστέλλεσθαι, καίπερ ὂν εὐθὺς ἀντικρυς ὑπὲρ ἡμᾶς τὸ ἐγχείρημα· ἀλλ' ἔδοξέ μοι καὶ αὐτῷ[2] δυοῖν τούτοιν θατέρου τυχεῖν, ἤτοι συνεγνωκέναι τε τῶν ξυμβαλλόντων τῇ ὑποθέσει, κατὰ τό· ὁ διδασκάλους ἔλαθε τοῦτο μαθηταῖς ἐπέφοιτησε, ἐὰν ἀπερυθριάσαι μοι συμβαίη τούτου γε ἕνεκα ἢ γοῦν μαθήσομαι τὴν περὶ τούτου εὐσεβῆ διδασκαλίαν τοῖς περὶ τὰ τοιαῦτα δεινοῖς ἀφορμὰς παρασχὼν ἐν καλῷ κεῖσθαι νομίσας τὸ ὑπὲρ εὐσεβείας καὶ λαλεῖν καὶ μανθάνειν, πρὸς δὲ καὶ ἵνα μὴ τοῦ λοιποῦ τούτου γε ἕνεκα τοῦ προβλήματος ῥαθυμίαν προσθεὶς ἡμῖν ἐγκαλῇς, ἅτε σοὶ πολλῶν μαθητευσάντων διδασκάλων ἀπέχουσι λόγων· ἄλλως τε καὶ δεῖν φησιν ἡμᾶς ὁ
Πετρ. Α' 3.15 ἀπόστολος ἑτοίμους εἶναι παντὶ τῷ αἰτοῦντι διδόναι λόγον· σαφηνείας δὲ χάριν τῶν ῥηθησομένων καὶ τὴν λέξιν αὐτὴν
f. 139b τοῦ προβλήματος δεῖν ἔγνων ἐκθέσθαι, ἵν' ἐν παραδόσει τὸ

[1] οὕτω ὁ B; ὁ κωδ.: εἰδόσι ὀλίγα. — [2] αὐτό.

διάφορον καταφανέστερον γίνηται τῶν δογμάτων· εἶχε δὲ ἡ λέξις οὕτως: "ἔκθεσις τοῦ προβλήματος". Ἐν τῷ τέλει δὲ τοῦ γράμματος προσθήσω, ὅ,τι ἀμφιβάλλεται κοινῇ περὶ τῆς μετουσιώσεως τοῦ ἄρτου ϗ τοῦ οἴνου εἰς σῶμα ἀληθὲς ϗ αἷμα ἀληθὲς αὐτοῦ τοῦ κυρίου. οἱ μὲν γὰρ ὅλως τὸ ὄνομα τῆς μετουσιώσεως ἀποτρόπαιον ἡγοῦνται· οἱ δὲ δέχονται μὲν ϗ μάλιστα ϗ πιστεύουσι ϗ κηρύττουσιν, ἀλλ' οὐ διαφόρως· οἱ μὲν γὰρ φασιν ἐννοεῖσθαι τὴν μεταβολὴν ὡς ἐπὶ τῶν φυσικῶν; πλὴν ὅτι ἐν ἐκείνοις μὲν ὕλη μένει, ἐνταῦθα δὲ ἀποβάλλεται τὸ συναμφότερον τῆς οὐσίας ϗ μένουσι τὰ συμβεβηκότα. οἱ δέ φασιν, ὅτι οὐ γίνεται μεταβολὴ τοῦ ἄρτου ϗ τοῦ οἴνου· ἀλλ' ὅτι ταῦτα μὲν ἀποκρύπτονται θείᾳ δυνάμει ϗ ὑπὸ τοῖς συμβεβηκόσι τούτων γίνεται, ἤτοι φανεροῦται τὸ σῶμα τοῦ Χριστοῦ· ϗ γὰρ ὁ ἄρτος ϗ ὁ οἶνος, φασίν,[1] οὐδεμίαν τροπὴν ἢ μεταβολὴν δέχονται, ἀλλὰ μόνον ἀναχώρησιν ϗ φανέρωσιν τοῦ Χριστοῦ ἐν τοῖς συμβεβηκόσιν· εἰ δέ τις εἴποι, ϗ πῶς τοῦτο; ὁ γὰρ Χριστὸς περιγραπτὸς σαρκὶ λέγουσιν, ὅτι ἐστὶ κατά τι ἄπειρος· περὶ (δὲ) τοιούτου τοίνυν προβλήματος ἀποροῦντος[2] τῆς ὑμετέρας ἂν εἴη ϗ παιδείας ϗ φρονήσεως

[1] φησίν. [2] οὕτω ὁ Β, κώδ. ἀποροῦντες.

ἢ εὐσεβείας διαστραφῆσαι.

Ἀπάντησις πρὸς ἕκαστον ἰδίᾳ τῶν ἐμφερομένων ἐν τῷ πολυμόρφῳ τούτῳ προβλήματι δογμάτων.

Τὰ μὲν δὴ δόγματα ταῦτα ἐκ τῆς προκειμένης λέξεως, ὦ τέκνον, ἔγνων ὡς εἰκὸς ἀναγνούς· οἵοις δὲ τισιν ἐπερείδονται λόγοις οἱ τὰ τοιαῦτα φρονοῦντες, οὐδὲν οὐκ ἔχω μαθεῖν· ἀνάγκη τοίνυν πρὸς μόνα ταῦτα ὡς δεῖ συλλαμβάνοντι ποιουμένοις τὸν λόγον τὰ ἐπελθόντα τοῖς ἐφ' ἡμῖν αἰτήσασι παραθέσθαι· ἵνα δὲ καθ' ὁδὸν προάγηται, προληπτέον ἄλλα τινά, οἷον καὶ διορισμούς τινας ἢ ὑποθέσεις εἰς εὐμαρεστέραν ἢ τρανοτέραν κατάληψιν τῶν ῥηθησομένων.

## Τίνα τὰ προληπτέα.

Ἐκεῖνό σοι τοιγαροῦν πρὸ τῶν ἄλλων ὑπομνηστέον, ὅτι ἐφ' ἑκάστου γένους οἱασοῦν ἐπιστήμης δύο ταῦτα θεωροῦνται: οἷον, αἱ ἀρχαὶ ἢ τὰ ἐκ τῶν ἀρχῶν. ὧν τὰ μὲν ὑποτίθενται ὡς ὁμολογούμενα, οἷον αἱ ἀρχαί, τὰ δὲ ζητοῦνται δι' ἀποδείξεως συνάγεσθαι κατὰ τοῦ ὑποκειμένου
φ. 140α ἐπιστητοῦ γένους διὰ τῶν οἰκείων ἀρχῶν. Ὅθεν ἐφ' ἑκά-

στου γένους δεῖ πιστεύειν ταῖς οἰκείαις ἀρχαῖς καὶ ὁμολογουμέναις τὸν μέλλοντα γνῶσιν τινα τῶν [ἐν] ἐκείνῃ τῇ ἐπιστήμῃ θεωρουμένων λαβεῖν, κἂν ὕστερ κατάληψιν καὶ γνωσθῶσιν αἱ τοιαῦται ἀρχαί[1], ἵνα καὶ τὸ ἐκ τούτων δεικνύμενον καὶ ὁμολογούμενον ἤδη καὶ ἀληθὲς ἀναφανείη· ἐπειδὴ πρὸς τὸν ἀναιροῦντα τὰς ἀρχὰς οὐδεὶς λόγος· ὁ γὰρ ταῖς ἀρχαῖς μὴ πιστεύων σχολῇ γ' ἂν τοῖς ἐκ τούτων συναγομένοις πιστεύσειεν. γ΄) ὅτι καθ' τῶν πάντη ἑτε-

Αναλυτ. ύστ. Α,7. ρογενῶν οὐκ ἔστιν ἀφ' ἑτέρου γένους εἰς ἕτερον μεταβάντας ἀποδεικνύναι τι τῶν ἐν ἐκείνῃ τῇ ἐπιστήμῃ θεωρουμένων ἴδια, ὡς τὰ αἴτια πάντα καὶ τὰ ἀποτελέσματα καὶ τὰ πάθη τῶν οἰκείων αἰτιῶν ἤρτηνται καὶ ἀρχῶν, ὥσπερ κατὰ τὸ εἶναι οὕτω καὶ κατὰ τὸ γινώσκεσθαι.

δ΄) καὶ ἡ καθ' ἡμᾶς ἱεροσοφία τοσοῦτον δεῖ τοῖς ταῖς

---

[1] "ἀνάγκη ἑκάστης μαθήσεως ἀνεξετάστους εἶναι τὰς ἀρχὰς τοῖς μανθάνουσιν, ἐπεὶ ἀμήχανον τοὺς περὶ τὰ τοιαῦτα λογομαχοῦντας συνιδεῖν ὁδῷ καὶ τάξει προηγεῖν εἰς τὸ τέλος". (πρβλ. Αριστ. Τοπ. 1.1. οὐ δεῖ ἐν ταῖς ἐπιστημ. ἀρχαῖς ἐπιζητεῖσθαι τὸ διατί, ἀλλ' ἑκάστην τῶν ἀρχῶν καθ' ἑαυτὴν εἶναι πιστήν)
Βασ. εἰς τὸν 115 ψαλμόν

ἄλλαις τῷ γένει κοινωνεῖν ἐπιστήμαις, ὥσπερ οὐδὲ ἄλλη τινὶ ἐπιστήμῃ, οὐδὲ ἄλλη περὶ ποιητικόν ἐστι γένος, καθάπερ αἱ παρὰ ἀνθρώποις διδασκόμεναι ἐπιστῆμαι· οὐκ γὰρ τοῖς αὐτοῖς κέχρηνται τρόποις, καθάπερ ἡ μὲν φυσικὴ ἐπιστήμη θεωρεῖ τὸ φύσιν ἔχει, ἡ φύσιν ἔχει, ἡ δὲ μαθη[μα]τικὴ τὸ ποσὸν ἐξ ἀφαιρέσεως, ἡ δὲ μεταφυσικὴ τὸ ὂν ἢ ὄν, οὐκ μὴν ὁμοίαις κέχρηνται ταῖς ἀρχαῖς, οἷον φυσικαῖς, ἢ μεταφυσικαῖς, ἢ μαθηματικαῖς, οὔτε μὴν ὁμοίως γνωσκομέναις. οὐκ γὰρ ἐξ ἐπαγωγῆς (ἡ γὰρ τῶν ὅρων ἀνάπτυξις πᾶσιν ἔστω κοινή, λέγων οὖσα σαφήνεια, ἡμῖν δὲ περὶ πραγμάτων ὁ λόγος), οὐ γὰρ περὶ τὸ αὐτὰ τινὰ καθόλου τὴν πραγματείαν ποιεῖται, ἐκ ἡ ἀπόδειξις ἀπὸ τῶν καθ' ἕκαστα προσπορίζοιτο, καθάπερ αἱ ἄλλαι ἐπιστῆμαι, οἷον ἡ φυσική, φέρ' εἰπεῖν, ἀπὸ τῶν καθ' ἕκαστα τὸ καθόλου συνάγει. οἷον, ὅτι πᾶν σῶμα ἢ πᾶν τὸ φύσιν ἔχον ἐστὶ κινητόν, κ. ἡ μαθηματική, ὅτι τὰ τῷ αὐτῷ ταὐτὰ κ. ἀλλήλοις ἐστὶ τὰ αὐτά κ. ἡ μεταφυσική, τὸ κατὰ παντὸς φάναι ἢ ἀποφάναι, ἐστὶ δυνατὸν τὸ αὐτὸ ἢ τὸ αὐτὸ κατὰ τοῦ αὐτοῦ ἀ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δυνατὸν φάναι καὶ ἀποφάναι καὶ τὰ τοιαῦτα· ἀπ' ἐκείνων γὰρ
καὶ συνάγειν δύναιτο, ὅτε πῶς ἁγιαζόμενος ἄρτος καὶ οἶνος γίνε-
σῶμα καὶ αἷμα Χριστοῦ ἢ πῶς νεκρὸς ἐγείρεται καὶ τὰ τοιαῦ-
τα· οὐκ ἐπειδὴ μὴν ἐκ τῆς κοινῆς ὑπολήψεως αἱ τοιαῦται πι-
στοῦνται ἀρχαί· ἢ γὰρ ἂν ἦσαν πᾶσι κοιναί· νῦν δὲ
καὶ τῶν πιστῶν αὐτῶν εἰσιν, οἳ ἀμφισβητοῦνται αἱ τοιαῦ-
ται ἀρχαί· ἄλλον δέ τινα ξένον καὶ ὑπερφυῆ τρόπον αἱ τοι-
αῦται πιστοῦνται ἀρχαί, ὥς φησιν ὁ θεῖος ἀπόστολος· "ἡ-
Α' Κορ. 2. μῖν γὰρ φησιν ὁ θεὸς ἀπεκάλυψε διὰ τοῦ πνεύματος αὐ-
τοῦ· τὸ γὰρ πνεῦμα φησὶν πάντα ἐρευνᾷ καὶ τὰ βάθη τοῦ
φ. 140β θεοῦ." φανότερον δὲ τὸ ἀνέφικτον ἄλλως ἀνθρώποις
εἶναι τὴν γνῶσιν τῶν τοιούτων ἀρχῶν ἐνδεικνύμενος ἐπή-
γαγε λέγων: "τίς γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου,
εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ. οὕτω καὶ τὰ τοῦ
θεοῦ οὐδεὶς οἶδεν εἰ μὴ τὸ πνεῦμα τοῦ θεοῦ. ἡμεῖς δὲ οὐ τὸ
πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ πνεῦμα τὸ ἐκ
τοῦ θεοῦ, ἵνα εἰδῶμεν τὰ τοῦ θεοῦ χαρισθέντα ἡμῖν, ἃ
καὶ λαλοῦμεν οὐκ ἐν διδακτοῖς ἀνθρωπίνοις σοφίας λό-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γοις, ἀλλ' ἐν διδακτοῖς πνεύματος ἁγίου, πνευματικοῖς πνευματικὰ συγκρίνοντες. ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος τοῦ θεοῦ· μωρία γὰρ αὐτῷ ἐστι, καὶ οὐ δύναται γνῶναι, ὅτι πνευματικῶς ἀνακρίνεται, ὁ δὲ πνευματικὸς ἀνακρίνει μὲν πάντα αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνα- Ἠσαΐ μ' κρίνεται· τίς γὰρ ἔγνω νοῦν κυρίου, ὃς συμβιβάσει αὐτόν; ἡμεῖς δὲ νοῦν ἔχομεν Χριστοῦ." ὁρᾷς ὅθεν τὸ πιστὸν ἔχουσιν αἱ τοιαῦται ἀρχαί, ὅτι κατ' ἀποκάλυψιν τοῦ πνεύματος τοῦ θεοῦ, τοῖς <οὐκ> ἀξίοις τοῦ πνεύματος τοῦ θεοῦ, καὶ οὐκ Ιω. α' ἄλλοθεν, ὅτι οὐδεὶς φησιν οἶδε τὰ τοῦ θεοῦ, εἰ μὴ τὸ πνεῦμα τοῦ θεοῦ, ὅθεν καὶ ὁ εὐαγγελιστὴς Ἰωάννης: "θεόν, φησι, οὐδεὶς ἑώρακε πώποτε. ὁ μονογενὴς υἱὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρὸς ἐκεῖνος ἐξηγήσατο". καὶ ὁ κύριος: "οὐ- Ματθ. ια' δείς, φησίν, ἐπιγινώσκει τὸν υἱόν, εἰ μὴ ὁ πατήρ, οὐδὲ τὸν πατέρα τις ἐπιγινώσκει, εἰ μὴ ὁ υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ υἱὸς ἀποκαλύψαι, ὁ δὲ παράκλητος, τὸ πνεῦμα τὸ ἅγιον, ὃ πέμψει ὁ πατὴρ ἐν τῷ ὀνόματί μου, ἐκεῖνος ὑμᾶς διδάξει πάντα, καὶ ὑπομνήσει ὑμᾶς πάντα, ἃ εἶπον ὑμῖν." Ὁποῖοι δὲ τινες εἰσὶ καὶ οἱ τῆς τοιαύτης τοῦ πνεύματος ἐλλάμψεως ἀξιούμενοι, ὁ μέγας διδάσκει Βασίλειος ἐν τοῖς περὶ τὸν Ἠσαΐ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αν λόγοις περί τὰς ἀρχάς· "ὥσπερ γάρ, φησίν, αἱ τῶν προ-
σώπων ἐμφάσεις οὐκ ἐν πάσαις ταῖς ὕλαις γίνονται, ἀλλ'
ἐν ταῖς λειότητά τινα καὶ διαφάνειαν κεκτημέναις, οὕτω
οὐκ ἐν πάσαις ταῖς ψυχαῖς ἡ τοῦ πνεύματος ἐνέργεια, ἀλλ'
ἐν ταῖς μηδὲν σκολιὸν ἐχούσαις. ἡ χιὼν χαμαιφορά ἀλλ' εἰκό-
νας τῶν ἔξω πεσόντων οὐ δείκνυσι, διότι τραχεῖά ἐστιν ἐκ
πεπηγότων ἀφρῶν συγκειμένη. τὸ γάλα λευκόν, ἀλλ' οὐ πα-
ραδέχεται τὰς εἰκόνας, διότι καὶ αὐτοῦ μικραί τινές εἰσι
πομφόλυγες· ὕδατι δὲ καὶ μέλαινα μορφὴ ἐμφαίνεται
διὰ λειότητα" ταῦτα εἰπὼν ἐπιφέρει· "οὕτως ἄρα τὸ ἀνώμα-
λον τοῦ βίου πρὸς ὑποδοχὴν θείας ἐνεργείας ἀνεπιτήδειον. ὅ-
ταν, φησί, ψυχὴ πάσῃ ἀσκήσει ἑαυτὴν ἐπιδοῦσα τῷ σφοδρῷ
περὶ θεοῦ φίλτρῳ διηνεκοῦς μνήμην θεοῦ ἐνσπουδάσασαν αὐ-
τῇ διασώζῃ, καὶ τούτῳ τῷ τρόπῳ οἱονεὶ ἔνοικον αὐτῇ τὸν θε-
ὸν εἶναι κατασκευάσῃ ἐν τῇ πρὸς τὸν θεὸν σφοδροτάτῃ ἑνώ-
φ. 141a σει, καὶ τοῦ ἀρρήτου φίλτρου θεοφορουμένη ἀξία τοῦ
κατὰ τὴν προφητείαν χαρίσματος γίνεται διδόντος θείαν
Λουκ. ιδ' 45 δύναμιν τοῦ θεοῦ καὶ τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς διανοίγον-
τος εἰς κατανόησιν ὧν βούλεται θαυμάζειν, διὸ καὶ οἱ
προφῆται ἔμπροσθεν βλέποντες ἐκαλοῦντο, παρά τό, εἰς

παρόντα τὰ μέλλοντα προορᾶν, ὅπερ ἔστι καὶ διὰ τῶν κατ' ὄ-
ναρ φαντασμάτων διδάσκει". περὶ τοιαύτας ἄρα ἀρχὰς
καταγίνεται ἡ ἡμετέρα θεοσοφία, ἀνακεκαλυμμένας ὑ-
πὸ τοῦ πνεύματος τοῦ θεοῦ τοῖς ἀξίοις τοῦ πνεύματος τοῦ
θεοῦ, ὧν κατ' ἐκείνων ἡ γνῶσις ἀλληλοδιαδόχως καὶ εἰς ἡμᾶς καταβέβη-
κεν· ἐφ' ὧν λοιπὸν καὶ μόνον τὸ Πυθαγορικὸν ἐκεῖνο εἰπεῖ-
ν θέμις, τό: αὐτὸς ἔφα. ἐπειδὴ πίστει καὶ μόνῃ μάλιστα
ἐπερειδόμενοι τὸ βέβαιον ἔχομεν τῶν τοιούτων ἀρχῶν. πι-
Ἑβρ. ια, 6 στεύειν γὰρ δεῖ τοῖς τὰ τοιαῦτα μεμυημένοις καὶ ὡς ἐνθέ-
οις ἀνδράσι προγνωρίσασί τε καὶ παραδεδωκόσι καὶ ἐπὶ ταῦ-
Τιμ. α, 6 τας ἀσφαλῶς, οἱονεὶ παρακαταθήκην λαβόντας, ἐπ' ἐλπίδι ζω-
β, α, 14. ῆς αἰωνίου.

Τί ἐστιν, εἰδικώτερον, τὸ ὑποκείμενον τῆς ἡμε-
τέρας θεοσοφίας καὶ τίνες αἱ τούτου ἀρχαὶ καὶ τίς ὁ τρόπος αὐταῖς;

Κ' ἵνα σοι καιροῦ λαβόμενος τρανότερον τι περὶ τούτων
διασαφήσω. Ἰδὼν ὁ θεὸς τὸν ἄνθρωπον, ὅτι οὐ δύναται οἴκο-
θεν διὰ τὴν ἐκ παραβάσεως ἐπισυμβᾶσαν τῷ ὀφθαλμῷ τῆς
Λογ. Σολ. ιγ' διανοίας σκοτόμαιναν διὰ τῆς ἐν τῇ φύσει ἐμπεφαρ-
Κορ. α, α, 21 μένης τοῦ θεοῦ σοφίας ἐπιγνῶναι τὸν δημιουργὸν τοῦ παντός,
λογισμοῖς δὲ τισι δειλοῖς καὶ ἐπισφαλέσιν ἐπινοίαις ἀποσφα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ρωμ. α, 20. γίνεται τῆς εὐθείας εἰς ἀνοδίας παραπεσὼν οὐκ ἠνέσχετο
Σοφ. Σολ. θ, 14. φιλάνθρωπος ὢν μὴ τοῦ οἰκείου (ποίημα τοῦ πονηροῦ) πα-
ραπεσόντος ἀντιλαμβάνεσθαι πλάσματος. διὸ καὶ αὖθις
ἣν ἀπώλεσε διδάξαι τοῦτον ηὐδόκησε σοφίαν διὰ τῶν ἀξίων
αὐτοῦ λειτουργῶν, ἀγγέλων τε καὶ προφητῶν, διὰ τῆς ἐνσάρκου
αὐτοῦ παρουσίας καὶ καθεξῆς τῶν ἱερῶν ἀποστόλων καὶ τῶν θε-
οπνεύστων διδασκάλων, σοφίαν ἐκείνην τὴν πάρεδρον
Σοφ. Σολ. θ' 4. τῶν θρόνων αὐτοῦ, ἵνα τοῦ λοιποῦ συμπαροῦσα τοῖς ἀν-
θρώποις ἡ θεοφάνη[1] θεόπνευστος διδασκαλία διδάξῃ αὐ-
τοὺς προύργου μὲν τί ἐστιν εὐάρεστον παρὰ τῷ θεῷ καὶ ὅ-
λως τὴν περὶ τὰ ἤθη διδασκαλίαν ἐκείνην, ἐν ᾗ αὐτὸς ὁ θεὸς
εὐαρεστηθείη καὶ δι' αὐτῆς κοσμηθέντας ἤδη καὶ ἀξίους γε-
γονότας ὁδηγήσῃ τούτους λοιπὸν ἐν γνώσει καὶ διδάξῃ αὐ-
τοὺς ἐκείνην τὴν θεωρητικὴν σοφίαν, ἥτις ἂν εἴη λοι-
πὸν ὁδηγὸς πρὸς τὴν ἀναμάρτητον καὶ ἀδιάψευστον γνῶ-
Γρηγ. α' περὶ θεολ. σιν τῶν ὄντων· ἐπιστήμη ἐστὶ ἢ λέγεται, ἡ πρᾶξις ἐπίβα-
β' τετράστιχ. σίς ἐστι θεωρίας καὶ μύρου[2] δοχεῖον καθαρὸν οὐ πεποι-

[1] ἤτε τοιαύτη.. [2] μῦρον.

φ. 141ᵃ ται, τοιγαροῦν ὑποκείμενον ἂν εἴη κοινότατον τῆς τοι-
Σοφ. Σολ. ζ' 18 αύτης θεοπαραδότου σοφίας πάντα τὰ ὄντα κατὰ πάσας
αὐτῶν τὰς διαφοράς· ἰδιαίτερον[1] δὲ διαιρεθείη ἂν κατὰ τὸν
θεόσοφον Δοχσμιώτα, ὡς ἀρτίως ἐλέγετο εἴς τε τὸ θεωρητικὸν
καὶ τὸ πρακτικόν· ἵνα γάρ, φησί, συμπαροῦσά μοι διδά-
ξῃ με δύο ταῦτα, τὸ μὲν τί ἐστιν εὐάρεστον παρά σοι·
ἰδοὺ τὸ πρακτικόν· τὸ δέ: ὁδηγήσει με ἐν γνώσει· ἰδοὺ
Γρηγ. α' τετρ. τὸ θεωρητικόν· ὅθεν καὶ ὁ τῆς θεολογίας ἐπώνυμος, πρᾶξιν,
φησίν, προτιμήσειας, ἢ θεωρίαν· ἀμφότερα τὰ μέρη
καὶ εἴδη λέγων τῆς τοιαύτης θεοπνεύστου διδασκαλίας. καὶ
τοιοῦτον μὲν τὸ ὑποκείμενον· ἀρχαὶ δὲ ταύτης εἰσίν, ὡς
ἐλέγετο, αἱ παρὰ τοῦ ἁγίου πνεύματος τοῖς ἀξίοις τοῦ
Λουκ. 1, 35. πνεύματος ἀποκεκαλυμμέναι. καὶ πᾶσα δὲ ἐξ ἀνθρώπων
ἔννοια ἐμμερίστα ἐστὶ συμφθεγγομένη ταῖς τοιαύταις ἀρχαῖς.
τρόπος δ' ἂν εἴη τῆς ἱερᾶς ταύτης σοφίας, κοινότατος μὲν τὸ
Ρωμ. α' 20 ᾗ γνωστόν· ἐπειδὴ πάντων ἡμῖν τὴν γνῶσιν τῶν ὄντων ἐ-
παγγέλλεται ἡ τοιαύτη σοφία· ἰδιαίτερον δὲ τοῦ μὲν θεωρη-
τικοῦ μέρους, τὸ ᾗ θεωρητόν, ὡς τὴν γνῶσιν μόνον ζητοῦ-

[1] ἰδιαίτερον.

μεν λαβεῖν, τοῦ δὲ πρακτικοῦ, τὸ ἡ πρακτικόν, ἐν τὴν γνῶσιν διὰ τὴν πρᾶξιν ζητοῦμεν. κ. τοιαύτη μὲν ἐστὶν ὡς ἐν ὀλίγοις εἰπεῖν ἡ καθ' ἡμᾶς ἱερὰ σοφία, ἧς τινος εἰ κ. τὸ πλέον
Κορ. Α΄ ιγ΄ 9 κ. ια κ. τὸ τέλειον ἐν ἐσόπτρῳ ἔτι κεῖται, ἀλλ' οὖν κ. τὸ ἐκ μέρους γινώσκειν κ. δι' ἐσόπτρου βλέπειν κ. ἀμυδράν τινα γνῶσιν τῶν ὄντων λαβεῖν ὅμως ἀληθῆ κ. βεβαίαν, ἀρκοῦσαν ἡμῖν ἂν εἴη κ. ἱκανὸν ὡς ἐν τῷ παρόντι, ἵνα τῇ θεωρίᾳ τῶν ὄντων κ. γνώσει τὸ γ' ἐγχωροῦν ἐγγυμνασθέντες κατὰ τὸν εἰ-
Ψαλ. ρμβ΄ 5. πόντα· "ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων", κ. καθαρθέντες καθ' ἑκάτερον κ. βίον κ. λόγον κ. τοῦ τελείου λοιπόν, ὡς ἐν τῷ μέλλοντι καταξιω-
Κορ. α΄ ιγ΄ 12. θῶμεν. ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. ἐκ τούτων οὖν δῆλόν ἐστιν, ὅτι οὐκ ἔξεστιν ἀφ' ἑτέρου τινὸς μεταβάντας γένους, ἀλλοτρίαις τισὶν ἀρχαῖς πειρᾶσθαί τι τῶν τοιούτων ἐν τῇ εὐσεβείᾳ δογμάτων δεικνύναι, ὅπερ ὁ εὐσεβὴς οὐ προσίεται λόγος. χρήσεται τοίνυν ἀπὸ τῶν τῆς εὐσεβείας ἀρχῶν ὁρμωμένους περὶ τῶν τῆς εὐσεβείας δογμάτων εἰπεῖν. τούτων οὖν οὕτως ἐχόντων τε κ. ὑποτεθέντων φέρε ἴδωμεν εἴ τινος ἔχονται λόγου τὰ τούτοις δοκοῦντα

κ. πρῶτον περὶ τοῦ πρώτου σιωπήσομεν, περὶ τοῦ ὀνόματος δηλαδὴ τῆς μετουσιώσεως.

φ. 142α

Ὅτι τὸ ὄνομα τῆς μετουσιώσεως ὀρθῶς κ. εὐσεβῶς λέγεται ἐπὶ τοῦ μυστηρίου τῆς εὐχαριστίας, ὥσπερ κ. τὸ τῆς μεταβολῆς, κ. τί διαφέρει τῆς μεταβολῆς.

Τὸ δὴ τοιοῦτον ὄνομα τῆς μετουσιώσεως εἰ κ. μὴ ἐμφέρεται κατὰ λέξιν ταῖς θείαις γραφαῖς, συνάγεται μέντοι ἀναμφιλέκτως ἐκ τῶν ἐμφερομένων· οὐκοῦν ἱερόν τί ἐστι κ. αὐτὸ ὥσπερ κ. τὸ ἐμφερόμενον, ἡ μεταβολή· τί γάρ ἐστιν ἡ μετουσίωσις, ὡς ἐμοὶ δοκεῖ, (τί γὰρ ἄλλο νοοῦσι τὴν λέξιν οὐκ οἶδα), ἡ ἀφ' ἑτέρας οὐσίας εἰς ἑτέραν οὐσίαν μεταβολή· ἔστι δὲ ὁμολογουμένως οὐσία[ι] τὸ πανακήρατον τοῦ Δεσπότου σῶμα κ. αἷμα· οὐσία δὲ ὁμολογουμένως ἐστὶ κ. ὁ ἄρτος κ. ὁ οἶνος· ἀκούω δὲ τῶν τριῶν μεγίστων φωστήρων τῆς ἁγίας τοῦ Χριστοῦ ἐκκλησίας Ἰακώβου κ. Βασιλείου κ. Χρυσοστόμου ξυμφθεγγομένων ἐν τῷ λέγειν: "κ. ποίησον τὸν μὲν ἄρτον τοῦτον τίμιον σῶμα τοῦ Χριστοῦ σου, τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ τίμιον αἷμα τοῦ Χριστοῦ σου, μεταβαλὼν

Βασ. ασκ. όρ. ο' κεφ. 5. τιτλ. φι. (1)

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῦ πνεύματος τοῦ ἁγίου." ὁρῶ δὲ κ(αὶ) τὴν ἁγίαν ἡμῶν ἐκκλησίαν ἀσμενέστατα παραδεξαμένην ἀνέκαθεν κατὰ τὰς ἱερὰς τελετὰς κ(αὶ) εἰς ἀεὶ κατ' αὐτὰς τὸ μυστήριον κ(αὶ) τὴν ἀνάμνησιν τοῦ Σωτῆρος ἡμῶν τελεσιουργοῦσαν ἀνὰ πᾶσαν τὴν οἰκουμένην, δῆλον ἐκ τούτων ἐστὶ τοῖς πιστεύουσι τῇ παραδόσει τῆς ἁγίας ἡμῶν ἐκκλησίας, ὡς ὀρθῶς κ(αὶ) εὐσεβῶς λέγεται ἡ μετουσίωσις ἐπὶ τοῦ μυστηρίου τῆς εὐχαριστίας, ὥσπερ κ(αὶ) ἡ μεταβολή, τὸ αὐτὸ τούτῳ ἐπινοηθεῖσα, ὡς οἶμαι, ἵνα τὸ διάφορον δηλώσῃ πρὸς τὴν κοινότερον λεγομένην μεταβολήν, οὐ μόνον τὴν ἐν τέτρασι θεωρουμένην κατηγορίαις, ἀλλὰ κ(αὶ) πρὸς αὐτὴν τὴν κατ' οὐσίαν θεωρουμένην· εἰ γὰρ κ(αὶ) ἐπ' αὐτῆς κατ' οὐσίαν ἐννοεῖται ἡ μεταβολή, ἀλλ' ὅμως οὐκ ἀποποιεῖται μηδὲ τὴν τῶν συμβεβηκότων μεταβολὴν τῇ οὐσίᾳ συμμεταβαλλομένων· ἐπὶ δὲ τοῦ προκειμένου ὑπερφυοῦς μυστηρίου τῆς εὐχαριστίας ἡ μεταβολὴ κατὰ μόνον γίνεται τὴν οὐσίαν, οὐ μὴν δὲ κατὰ τὰ συμβεβηκότα. κ(αὶ) ἡ τοιαύτη μεταβολὴ ἰδιαίτατα μετουσίωσις εὐφυῶς

...συνκ. ιϛ,19 κ Κορ. α΄ ια,24 κ ια,2

γίγνεται, ἵνα δηλώσῃ ὡς εἴπομεν ἐν ταὐτῷ καὶ τὴν τῶν συμβεβηκότων ἀμεταβλησίαν· σχηματίσαις δὲ τὸν λόγον ὧδε· ἐφ' ὧν ἡ μεταβολὴ κατὰ μόνην γίγνεται τὴν οὐσίαν καὶ τούτων εὐφυῶς ἡ μετουσίωσις ἰδιαίτερον λέγεται· ἀλλὰ μὴν καὶ τοῦ μυστηρίου

φ. 142β — τῆς εὐχαριστίας ἡ μεταβολὴ κατὰ μόνην γίνεται τὴν οὐσίαν, καὶ τούτου εὐφυῶς ἄρα ὀρθῶς καὶ κυρίως ἰδιαίτερον ἡ μετουσίωσις λέγεται· ἡ μείζων ὁμολογεῖται ἀπὸ τοῦ ἐκτεθέντος ὁρισμοῦ τῆς μετουσιώσεως· ἡ ἐλάττων δείκνυται μὲν ἀνωτέρω κατὰ τὴν παράδοσιν καὶ αὐτουργίαν τῆς ἁγίας τοῦ Χριστοῦ ἐκκλησίας, δείκνυται δὲ καὶ νῦν ἀπ' αὐτῆς ἱερουργοῦ τῆς ἀληθείας· ἡ τοῦ ἄρτου καὶ τοῦ οἴνου εἰς σῶμα καὶ αἷμα μεταβολὴ μενόντων τῶν συμβεβηκότων κατ' οὐσίαν μόνον ἐστὶ μεταβολή· ἀλλὰ μὴν καὶ τοῦ προκειμένου μυστηρίου τῆς εὐχαριστίας ὁ κύριος οὕτω λέγεται τοῦτο διδάσκων· ἄρα καὶ τούτου ἡ μεταβολὴ κατὰ μόνην γίγνεται τὴν οὐσίαν· ἡ μείζων ὁμολογεῖται ἡ ἐλάττων δείκνυται, εἰπόντος τοῦ κυρίου· «καὶ ὁ ἄρτος δέ, ὃν ἐγὼ

Ἰω. ε' 51. — δώσω, ἡ σάρξ μού ἐστιν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου

ζωῆς· διὰ μὲν γὰρ τοῦ εἰπεῖν ἄρτον ἐδήλωσε τὸ φαινόμενον διὰ τὰ συμβεβηκότα τοῦ ἄρτου, διὰ δὲ τοῦ εἰπεῖν ἡ σάρξ μου ἐστὶν ἐδήλωσε τὸ νοούμενον τὴν κατ' οὐσίαν δηλονότι τοῦ ἄρτου καὶ τοῦ οἴνου εἰς σάρκα καὶ αἷμα μεταβολήν. οὕτω καὶ ἐπὶ τοῦ μυστικοῦ δείπνου, τὸν ἄρτον εἰς χεῖρας λαβὼν καὶ δείξας τοῖς ἱεροῖς μαθηταῖς: "λάβετε, φάγετε, φησί, τοῦτό ἐστι τὸ σῶμά μου" καὶ τὸ ποτήριον ἤτοι τὸν οἶνον ὁμοίως: "πίετε, φησιν ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ αἷμά μου" καὶ τὰ ἑξῆς· κατὰ μὲν γὰρ τὸ φαινόμενον δηλαδὴ τὰ συμβεβηκότα ἄρτος καὶ οἶνος ἐφαίνετο κατὰ δὲ τὴν ὑποκειμένην τούτοις οὐσίαν, ἅμα τῷ δεσποτικῷ καὶ τελεσιουργικῷ ῥήματι μεταβεβηκότα οὐκ ἔτι ἄρτος ἦν, ἢ οἶνος, ἀλλ' ἤδη σῶμα καὶ αἷμα, συνδραμόντων ἐν ταὐτῷ καὶ συνιόντων ὁμοῦ κατὰ τὸν ὑπερφυῆ τοῦτον τῆς μεταβολῆς τρόπον οὐσίας, σαρκὸς καὶ αἵματος, ἄνευ τῶν οἰκείων συμβεβηκότων καὶ συμβεβηκότων ἄρτου καὶ οἴνου ἄνευ τῆς οἰκείας οὐσίας, αὐτὴν ταύτην τὴν κατ' οὐσίαν μεταβολὴν τρανῶς ἀνακηρύττει παρακα-

[Margin:] Ματθ. κς' 26 / Μαρκ. ιδ' 22 / Λουκ. κβ' 19

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ιω. ς' 33 54, 55. κών, "ἐὰν μὴ φάγητε, λέγων, τὴν σάρκα τοῦ υἱοῦ τοῦ
ἀνθρώπου ϗ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς"
ϗ "ὁ τρώγων μου τὴν σάρκα ϗ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ
μένει, κἀγὼ ἐν αὐτῷ" ϗ ταῦτα εἰπών, ἵνα μή τις ἕτερόν
τι παρὰ τὸ σημαινόμενον ἐπινοήσῃ τῶν τοιούτων φωνῶν
δηλονότι σαρκὸς ϗ αἵματος, ἐπήνεγκεν ἐπιβεβαιούμενος
"ἡ γὰρ σάρξ μου ἀληθῶς ἐστι βρῶσις, ϗ τὸ αἷμά μου ἀλη-
θῶς ἐστι πόσις". μὴ γάρ, φησίν, ἄρτου ϗ οἴνου μεταλαμ-
βάνοντες ὑποτοπάσητε σαρκὸς ϗ αἵματος μετασχεῖν, ἀλλ'
ἐὰν αὐτὴν ταύτην μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ
ἀνθρώπου ϗ αὐτὸ τοῦτο μὴ πίητε τὸ αἷμα αὐτοῦ, οὐκ
ἔχετε ζωὴν ἐν ἑαυτοῖς· ἡ γὰρ σάρξ μου ἀληθῶς ἐστι βρῶσις
ϗ τὸ αἷμά μου ἀληθῶς ἐστι πόσις" καίτοιγε κατὰ τὸ φαι-
φ. 143α νόμενον ἄρτου ϗ οἴνου μεταλαμβάνειν δοκοῦμεν, ἀλλ'
οὐ σαρκός τε ϗ αἵματος. εἰ δὲ τὸν τοιοῦτον ἄρτον ϗ οἶ-
νον ὁ κύριος σάρκα ϗ αἷμα ἑαυτοῦ κατονομάζει ϗ
οὐ δύναται τὸ αὐτὸ ἅμα τοῦτο κἀκεῖνο εἶναι, ἄρτος

ὁμοῦ ϗ σάρξ ἢ οἶνος ἅμα ϗ αἷμα· δυοῖν θάτερον, ἤτοι ἄρτος ἔσται μόνον ϗ οἶνος ϗ διαψεύσεται ὁ ταῦτα σάρκα ἑαυτοῦ ϗ αἷμα κατονομάσας, ἢ εἴπερ ἐστὶν ἀδύνατον τὴν αὐτοαλήθειαν διαψεύσασθαι, ϗ ἔστιν ὡς ἀληθῶς ὁ τοιοῦτος ἄρτος ϗ οἶνος, αἷμα ϗ σάρξ, ὁρᾶται δ' οὐχ ἧττον ϗ μετὰ τὴν μεταβολὴν οἷον ἄρτος ϗ οἶνος ϗ οὐκ ἀπατᾶται. ταῦτα οὕτως ὁρῶσα ἡμῶν ἡ ὄψις· φανερόν ἐστιν, ὅτι κατὰ μόνην αὐτὴν τὴν οὐσίαν ὁ ἄρτος ϗ ὁ οἶνος μεταβάλλονται εἰς σῶμα ἀληθὲς ϗ αἷμα ἀληθὲς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μενόντων τῶν συμβεβηκότων ϗ μετὰ τὴν μεταβολὴν τῶν αὐτῶν, ὅπερ ἔδει δεῖξαι. (ὅσα ϗ οἷα τοῖς ἀπαναινομένοις τὴν μετουσίωσιν ἄτοπα ἐπακολουθεῖ)

Εἰ δὲ μὴ ἦν μετουσίωσις ϗ μεταβολὴ κατ' οὐσίαν τοῦ ἄρτου ϗ τοῦ οἴνου εἰς σώμα[1] ἀληθὲς ϗ αἷμα ἀληθὲς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, οὐκ ἂν ἐσθίοντες ἄρτον ϗ πίνοντες οἶνον μόνον εἴχομεν ποτὲ ζωὴν ἐν ἑαυτοῖς κατὰ τὴν τοῦ κυρίου ἀπόφασιν, οὔτε ἡμεῖς ἐν αὐτῷ ἐμένο-

[1] σῶμα.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἰω. ιγ' 8.

μεν ἄν, οὔτε αὐτὸς ἐν ἡμῖν, ἀλλὰ καθὼς εἴρηται κ(αὶ) τῷ κορυφαίῳ τῶν ἀποστόλων τὸν θεῖον διευλαβουμένῳ νιπτῆρα· "ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ", οὕτω κ(αὶ) αὐτοὶ ἀπηλλοτριωμένοι ἂν ἦμεν ἀπ' αὐτοῦ, κ(αὶ) οὕτως ἀπερριπτόμεθα ἂν ἔξω εἰς πῦρ ἐμβληθέντες ὡσανεὶ ἄκαρπα κλήματα κ(αὶ) αὐτὰ μὴ μένοντες ἐν τῇ ἀμπέλῳ δηλ. τοῦ Χριστοῦ· κ(αὶ) ματαία ἂν ἦν ἡ καύχησις ἡμῶν ἡ τῆς πίστεως τῆς ἐν Χριστῷ Ἰησοῦ. Ὁρᾷς ὅσα κ(αὶ) οἷα τὰ ἄτοπα τοῖς ἀπαναινομένοις τὴν μετουσίωσιν ἐπακολουθεῖ, ὧν ῥύσαιτο ἡμᾶς ὁ Θεός. Ἀλλ' οὐχ οὕτως ὁ τὴν γλῶτταν χρυσοῦς κ(αὶ) τὴν καρδίαν, ὁ γνήσιος κ(αὶ) πιστὸς τοῦ Ἀποστόλου θεράπων κ(αὶ) ἀρχιερεὺς κ(αὶ) δοῦλος Χρυσόστομος, ἀλλ' ὁμολογήσας πρότερον ἐν πίστει τὴν ἔνσαρκον τοῦ Θεοῦ Λόγου οἰκονομίαν ἐν ταπεινῷ κ(αὶ) καταβεβλημένῳ φρονήματι ἐν τῷ εἰπεῖν: Πιστεύω Κύριε κ(αὶ) ὁμολογῶ, ὅτι σὺ εἶ ἀληθῶς ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος ὁ ἐλθὼν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶ-

σαι ὧν πρῶτος εἰμι ἐγώ" ἐπήνεγκεν: "ἔτι πιστεύω ὅτι τοῦτο αὐ-
τό ἐστί τό ἄχραντον σῶμά σου καί τοῦτο αὐτό ἐστί τό τίμιον
αἷμά σου." καί ὁ θεῖος ἀπόστολος: "ἐγώ γάρ, φησί, παρέλα-
Κορ. Α΄ ια΄ 23. βον ἀπό τοῦ κυρίου, ὅ καί παρέδωκα ὑμῖν, ὅτι ὁ κύριος
Ἰησοῦς ἐν τῇ νυκτί ᾗ παρεδίδοτο ἔλαβεν ἄρτον καί εὐχαρι-
στήσας ἔκλασε καί εἶπε, λάβετε φάγετε, τοῦτό μου ἐστί τό σῶ-
μα τό ὑπέρ ἡμῶν κλώμενον. τοῦτο ποιεῖτε εἰς τήν ἐμήν
φ.143β ἀνάμνησιν. ὡσαύτως καί τό ποτήριον μετά τό δειπνῆσαι
λέγων· τοῦτο τό ποτήριον ἡ καινή διαθήκη ἐστίν ἐν τῷ ἐ-
μῷ αἵματι· τοῦτο ποιεῖτε ὁσάκις ἄν πίνητε εἰς τήν ἐμήν
ἀνάμνησιν. ὁσάκις ἄν ἐσθίητε τόν ἄρτον τοῦτον καί τό ποτή-
ριον τοῦτο πίνητε τόν θάνατον τοῦ κυρίου καταγγέλλε-
τε, ἄχρις οὗ ἄν ἔλθῃ" ταῦτα εἰπών ἐπιφέρει λέγων: "ὥστε
ὅς ἄν ἐσθίῃ τόν ἄρτον τοῦτον, ἤ πίνῃ τό ποτήριον τοῦ κυ-
ρίου ἀναξίως ἔνοχος ἔσται τοῦ σώματος καί αἵματος τοῦ
κυρίου. δοκιμαζέτω δέ ἄνθρωπος ἑαυτόν, καί οὕτως ἐκ
τοῦ ἄρτου ἐσθιέτω καί ἐκ τοῦ ποτηρίου πινέτω. ὁ γάρ ἐσθί-
ων καί πίνων ἀναξίως κρῖμα ἑαυτῷ ἐσθίει καί πίνει μή δι-
ακρίνων τό σῶμα τοῦ κυρίου" διά γάρ τοῦτο καί οὕτως
ἄρτον καί οἶνον εἰπών εἰσήγαγε σῶμα καί αἷμα κυρίου

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἵνα μάθωμεν, ὅτι ὁ φαινόμενος ἄρτος καὶ οἶνος οὐχ ἁπλῶς καὶ κατ' οὐσίαν ἄρτος ἐστὶ καὶ οἶνος, ἀλλ' αὐτὸ τοῦτο σῶμα καὶ αἷμα Χριστοῦ.

Ὅτι ἕτερος ὁ τρόπος οὗτος τῆς μεταβολῆς καὶ ἕτερος ὁ θεωρούμενος ἐν τοῖς φυσικοῖς.

Ἁμαρτάνουσι δὲ καὶ οἱ τὴν μεταβολὴν ταύτην γίγνεσθαι λέγοντες ὡς καὶ ἐπὶ τῶν φυσικῶν, ὅτι μὴ ὁμωνύμως φασίν. ἐπ' ἐκείνων μὲν γὰρ κατὰ μικρὸν διὰ τὴν ἀντίδρασιν ἡ μεταβολὴ γίγνεται· κἀκεῖ μὲν τὸ εἶδος μόνον ἀποβάλλεται μενούσης τῆς ὕλης, ὥς φασι καὶ αὐτοί, ἐνταῦθα δὲ τὸ συναμφότερον μεταβάλλεται. κἀκεῖ μὲν καὶ τὰ συμβεβηκότα συμμεταβάλλεται ὡς εἴρηται τῇ οὐσίᾳ ἐνταῦθα δὲ ἡ μεταβολὴ κατὰ μόνην γίνεται τὴν οὐσίαν, οὐ μὴν δὲ καὶ κατὰ τὰ συμβεβηκότα. τὸ δὲ μεῖζον πάντων, ὅτι ἐπ' ἐκείνων ἡ φύσις ἐστὶ τὸ ποιοῦν, διὸ καὶ κατὰ φύσιν ὁ τρόπος, ἐνταῦθα δὲ ποιητικὸν αὐτὸ ἐστι τὸ πνεῦμα τὸ ἅγιον. ἔστιν δὲ τὸ μέσον θεοῦ καὶ φύσεως

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοσοῦτον διενήνοχε καὶ ὁ ὑπὲρ φύσιν τρόπος τοῦ κατὰ φύσιν.

Ὅτι οὐκ ἀποβάλλεται τὸ συναμφότερον τῆς οὐσίας τοῦ ἄρτου καὶ τοῦ οἴνου, ἀλλὰ μεταβάλλεται τὸ συναμφότερον εἰς σῶμα καὶ αἷμα Χριστοῦ.

Τὸ δὲ λέγειν ἀποβάλλεσθαι τὸ συναμφότερον τῆς οὐσίας ἀναιρεῖν ἐστιν εἰς τὸ παντελὲς τὴν εἰς σῶμα καὶ αἷμα τοῦ ἄρτου καὶ οἴνου μεταβολὴν καὶ μόνην ἀντεισαγωγὴν γίνεσθαι, ὡς αὐτοί φασι, τοῦ κυριακοῦ σώματός τε καὶ αἵματος, τῶν μὲν ἀποβαλλομένων τῶν δὲ ἀντ' ἐκείνων εἰσαγομένων, ἀλλὰ μὴ κατὰ μεταβολὴν ἐκείνων γεγενημένων, αὐτὸ τοῦτο ὅπερ ἐστὶ σῶμα καὶ αἷμα Χριστοῦ. ὁ δὲ κύριος αὐτὸν τὸν ἄρτον ἀναχεί-
φ. 144a ρας λαβὼν καὶ δείξας τοῖς ἱεροῖς μαθηταῖς, "τοῦτό ἐστιν, ἔφη τὸ σῶμά μου" καὶ οὐχὶ ἕτερον ἀντὶ τούτου. καὶ περὶ τοῦ ἐν τῷ ποτηρίῳ οἴνου ὁμοίως "τοῦτό ἐστι, ἔφη, τὸ αἷμά μου" καὶ οὐκ ἕτερον ἀντὶ τούτου· ὅθεν καὶ ὁ τῆς μυστικῆς ταύτης θυσίας ἱερουργός, κατὰ τὴν παράδοσιν τῶν θείων πατέρων "καὶ ποίησον, φησί, τὸν μὲν ἄρτον τοῦτον τίμιον σῶμα

Χρυσ. λειτ. τοῦ Χριστοῦ σου· τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ τίμιον αἷμα τοῦ Χριστοῦ σου", αὐτὰ δηλονότι ταῦτα καὶ οὐχ ἕτερα ἀντὶ τούτων.

Τίνι τρόπῳ μεταβάλλεται ὁ ἄρτος καὶ ὁ οἶνος εἰς σῶμα καὶ αἷμα Χριστοῦ.

Εἰ δὲ καὶ τὸν διορισμοῦ τρόπον βούλει μαθεῖν, ἄκουσον: "μεταβαλών, φησί, τῷ πνεύματί σου τῷ ἁγίῳ"· ὁ μὲν γὰρ κύριος αὐτουργὸς ὢν τοῦ μυστηρίου διὰ τοῦ ἐκεῖ ῥήματος ἔδειξεν, ὅτι τὰ ὁρώμενα ὁ ἄρτος καὶ ὁ οἶνος τῇ οἰκείᾳ δυνάμει προμεταβέβληνται, καὶ εἰσὶν ἤδη αὐτὸ τοῦτο σῶμα καὶ αἷμα Χριστοῦ· ὁ δὲ ἱερεὺς δεῖται, ὥστε παραγενέσθαι τὸ πνεῦμα τὸ ἅγιον ἐπὶ τὰ προκείμενα καὶ ποιεῖν αὐτὰ μεταβαλὸν ἀντὶ ἄρτου καὶ οἴνου σῶμα καὶ αἷμα Χριστοῦ. Τίνι δὲ τρόπῳ γνωστὸν αὐτὰ μεταβάλλει μὴ ζήτει· ἀδύνατος ἡ ἀκρίβωσις· ἱκανὸν δὲ εἰς πίστιν, ὅτι παντοδυνάμῳ δυνάμει Θεὸς ὤν, ὡς οἶδεν, αὐτὰ μεταβάλλει. Ἀναγκαία δὲ ἡμῖν ἡ τούτου γνῶσις εἰς σωτηρίαν ἀλλά

μόνον πίστει, ὅτι τῇ ἐπιφοιτήσει κ(αὶ) ἐνεργείᾳ τοῦ ἁγίου πνεύματος μεταβάλλονται εἰς σῶμα κ(αὶ) αἷμα Χριστοῦ, μὴ ζητεῖν λόγον ἐν τοῖς ὑπὲρ λόγον· εἰ γὰρ κ(αὶ) τῶν αὐτῶν τῶν κατὰ φύσιν
45,17 κατὰ τὴν [illegible] παρὰ τῷ Ἀφροδισεῖ τῶν προβλημάτων διανομὴν ἔστιν ἃ πᾶσαν ἐπίνοιαν ὑπερβαίνουσιν ἀνθρωπίνην (λόγοις προνοίας ἀρρήτοις, ὡς δέ ἐμοὶ δοκεῖ, ἵνα κ(αὶ) τὰ τῆς πίστεως δόγματα ὑπὲρ λόγον ὄντα παραδεχώμεθα), κ(αὶ) τὰ ἐν τῷ περὶ θαυμασίων ἀκουσμάτων ἔστι κατιδεῖν, πῶς οὐκ ἐσχάτης εὐηθείας ἂν εἴη λόγον ἐν τοῖς
ρρ. Α' α' 17 ὑπὲρ λόγον ζητεῖν τὰ ἐν ποσὶν ἀγνοοῦντας; διατί; ἵνα μή, φησί, κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ, κ(αὶ) ἵνα ἡ πίστις ἡ-
ρρ. Α', β' 5 κ(αὶ) Β', ..12 μῶν μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων, ἀλλ' ἐν δυνάμει θεοῦ· διὸ κ(αὶ) πρὸς τοὺς οὕτω πεπωρωμένους ἀνυποστάτως περὶ τῶν τῆς πίστεως δογμάτων φιλοσοφεῖν κἀξ ὑπογύου τὰ ἐπελθόντα διδάσκειν εὐκαίρως ἂν προβληθείη τὸ περὶ τοῦ μύρμηκος πρὸς Εὐνόμιον παρὰ τοῦ οὐρανοφάντορος προβαλ-
ρξη' λόμενον, ἐν οἷς μετὰ τὴν ἔκθεσιν τοῦ προβλήματος ἐπάγει

κεν λέγων:[1] "ὁ τοίνυν τῶν ὄντων τὴν γνῶσιν ἐπικομπάζων πρῶτος τὴν τοῦ μύρμηκος φύσιν εἰπάτω, εἶθ' οὕτως φυσιολογείτω τὴν πάντα νοῦν ὑπερέχουσαν φύσιν. εἰ δὲ τοῦ βραχυτάτου μύρμηκος οὔπω περιέλαβες τῇ γνώσει τὴν φύσιν πῶς τὴν ἀκατάληπτον δύναμιν τοῦ Θεοῦ μεγαλαυχεῖς φαντάζεσθαι." ἀπόχρη τοίνυν ἡμῖν ἐκ τινων ὑποδειγμάτων ἐπιπολαίαν τινὰ τοῦ μυστηρίου λαβεῖν. ὥσπερ γὰρ ἐπὶ τῶν κατὰ φύσιν ὁ ἥλιος τῇ οἰκείᾳ θερμότητι μεταβάλλει χρόνῳ τὰ στοιχεῖα κατ' οὐσίαν ἀφ' ἑτέρου εἰς ἕτερον, οἷον ἐξ ὕδατος εἰς ἀέρα καὶ ἐξ ἀέρος εἰς πῦρ, ἢ καθάπερ ἐν ἡμῖν ἡ φύσις διὰ τῆς ἐμφύτου θερμότητος μεταβάλλει τὸν οἶνον καὶ τὸν ἄρτον εἰς σῶμα καὶ αἷμα ἀνθρώπου, οὕτω καὶ τὸ πνεῦμα τὸ ἅγιον τῇ οἰκείᾳ καὶ ὑπερφυεῖ δυνάμει μεταβάλλει θεοπρεπῶς ἐν ἀδιαιρέτῳ νῦν τὸν ἄρτον καὶ τὸν οἶνον εἰς σῶμα καὶ αἷμα Χριστοῦ. οὐκέτι γὰρ φύσις ἰδίᾳ τὸ ποιοῦν, οὐδὲ κατὰ φύσιν ὁ τρόπος, ἀλλὰ Θεὸς τὸ ποιοῦν καὶ ὑπὲρ φύσιν ὁ τρόπος. ὅπου δὲ βούλεται Θεός.

Γρηγ. Νυσ. Δαμ.

1. Βάκαρη

ός κεῖσθαι φύσεως τάξεις. καὶ τῶν τοιούτων ὑπερφυῶν ὑποδειγμάτων πλήρεις αἱ θεῖαι γραφαί. εἰ δὲ ἀπέβαλλον ταῦτα, ὡς φασιν οἱ καθ' ἑαυτῶν τὰ τοιαῦτα κενοφωνοῦντες, καὶ πιστεύειν ὑποκρινόμενοι, τί ποτ' ἄρα μετελάμβανον εἰς σῶμα καὶ αἷμα Χριστοῦ, οὐκ ἔστιν εὑρεῖν. οὐ γάρ ἐστιν ποτὲ ἦν αὐτὸ τοῦτο ἐκεῖνο τὸ πρωτοτύπως ἅπαξ προσενεχθὲν πανακήρατον σῶμα καὶ αἷμα Χριστοῦ ὡς δειχθήσεται προϊόντως.

Ὅτι αὐτὸς ὁ ἄρτος καὶ αὐτὸς ὁ οἶνος μεταβάλλονται εἰς σῶμα ἀληθῆ καὶ αἷμα ἀληθὲς τοῦ Χριστοῦ κατὰ μόνην αὐτῶν τὴν οὐσίαν, οὐ μὴν δὲ καὶ κατὰ τὰ συμβεβηκότα.

Τοὺς δὲ λέγοντας μηδεμίαν τροπὴν ἢ μεταβολὴν δέχεσθαι τὸν ἄρτον καὶ τὸν οἶνον, ἐρωτητέον τί ποτ' ἄρα καὶ ποῖον ἄρτον καὶ οἶνον λέγοντες μὴ μεταβάλλεσθαι. πότερον τὰ τῇ αἰσθήσει ὑποκείμενα συμβεβηκότα, ἢ τὴν ὑποκειμένην τούτοις καὶ νῷ μόνῳ καταλαμβανομένην οὐσίαν. ἤτοι τὸν

τὸ συναμφότερον, τὴν οὐσίαν δηλαδὴ μετὰ τῶν συμβεβηκότων; εἰ μὲν οὖν τὰ συμβεβηκότα μόνα φαῖεν τοεῖν διὰ τοῦ ἄρτου καὶ τοῦ οἴνου μὴ μεταβάλλειν εἰκότα ὑπολάβοιεν τ' ἂν τὰ συμβεβηκότα μόνα μὴ μεταβάλλειν· ἐξ ὧν μέντοι διδάσκουσιν οὐ περὶ συμβεβηκότων ἡ ἀμεταβλησία αὐτοῖς πρεσβεύεται, ἀλλὰ μάλιστα περὶ τῆς ὑποκειμένης οὐσίας, τοῦτο τεκμαιρομένοις, ὡς ἔοικεν, ἀπὸ τῆς τῶν συμβεβηκότων ἀμεταβλησίας· ἔξεστι γὰρ αὐτοῖς ἀφ' ὁτουοῦν ἐφ' ὁτιοῦν γένος μεταβάντας ἐπιχειρεῖν, ὥστε καὶ ἐπὶ τῶν ὑπὲρ φύσιν ἀπὸ τῶν κατὰ φύ-
φ. 145a σιν ἐπιχειρεῖν τὰ δοκοῦντα συνάγειν. καίτοιγε οὐδὲ ἐπὶ τῶν κατὰ φύσιν αὐτῶν καθόλου ὁ λόγος ἐστὶν ἀληθής· καὶ ἐν τῷ νεκρῷ γὰρ ἀνθρώπῳ κατ' οὐσίαν μεταβεβληκότι τὰ αὐτὰ μένει συμβεβηκότα, οὐ μὴν δὲ ἡ αὐτὴ μένει οὐσία· εἰ γὰρ ὁ λόγος ἕτερος τούτων καὶ ἡ οὐσία ἑτέρα· εἰ δ' οὐ δύνανται ἀπὸ τῆς τῶν συμβεβηκότων ἀμεταβλησίας, μήτοιγε ἐπὶ τῶν ὑπὲρ φύσιν τῷ μηδένι

1 ὁ λόγος Β: ...

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φυσικῷ κανόνι περιοριζομένη, ἀλλ' οὐδ' ἐπ' αὐτῶν δὴ τῶν κατὰ φύσιν καθόλου συναγαγεῖν τὴν τῆς οὐσίας ἀμεταβλησίαν, καὶ διαπιστώσωσιν αὐτοῖς ἡ θύρα τῶν ἐπιστημονικῶν ἀρχῶν αἴσθησις, μὴν ἀπὸ τῆς κοινῆς ὑπολήψεως δύναται τοῦτο συναγαγεῖν· ἀλλ' ἀπὸ μὲν καὶ πάνυ πολλῶν εὐπορήσαιεν ἂν ξυμφωνούντων πιστεύειν μὲν οὐδενός. εἰ δὲ μενδελίρῃ ὁ λόγος αὐτοῖς, μηδ' ἄλλοθέν ποθεν· (οὐ γὰρ ἔχουσιν) ὁρμώμενος ἰσχύει τί ποτε κατὰ τῆς ἀληθείας, δηλονότι καὶ ἄκοντες ξυμφθέγξονται ἡττηθέντες τῇ ἀληθείᾳ· εἰ δ' ὅπερ κοινῇ ξυνδοκεῖ τὸ συναμφότερον τοῦ ἄρτου καὶ τοῦ οἴνου τοῖς οἰκείοις ὀνόμασι παρυφίσταται ἡ οὐσία δηλαδὴ μετὰ τῶν συμβεβηκότων (καθ' ἕκαστα γὰρ) δῆλον καὶ ὁ ἄρτος αὐτὸς καὶ ὁ οἶνος αὐτὸς ἐστιν ὁ μεταβαλλόμενος εἰς σῶμα ἀληθὲς καὶ αἷμα ἀληθὲς τοῦ Χριστοῦ, ἀλλὰ κατὰ μόνην αὐτῶν ὡς εἴρηται τὴν οὐσίαν, οὐ μὴν δὲ καὶ κατὰ τὰ συμβεβηκότα, ὅπερ καὶ σημαίνειν τὴν μετουσίωσιν ἰδιαίτερον ἐλέγομεν ἀνωτέρω.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Διατί ὁ ἄρτος καὶ ὁ οἶνος κατὰ μόνην αὐτῶν μεταβάλλονται τὴν οὐσίαν, οὐ μὴν καὶ κατὰ τὰ συμβεβηκότα καὶ εἴρηται.

Καὶ τοῦτο οἷς μὲν τισιν ἄλλοις οὕτως οἰκονομεῖται λόγοις αὐτὸς οἶδε μόνος ὁ ταῦτα οὕτως οἰκονομεῖσθαι καὶ τε-
Δαμασκ. λεῖσθαι θελήσας· καὶ δ' ἡμῶν κοινῶν ἔννοιαι, τὸ μὲν ἀπαλό
Νικόλαος ἀηδὲς καὶ ἀποτρόπαιον τῆς μεταλήψεως τῶν φαινομένων.
Σαμίων. πῶς γὰρ οὕτω καὶ μεταλάβοιμεν ἀναισχυντοῦμεν ἔτι σαρκὸς καὶ αἵματος ἔτι ζώντων, καὶ ὠμοφάγοι καὶ αἱμοπόται θηρίων δίκην χαναγρίων. "ἐγὼ γάρ εἰμι, φησίν, ὁ ἄρτος τῆς ζωῆς" καὶ πάλιν: "ἐγώ εἰμι, φησίν, ὁ ἄρτος ὁ ζῶν
Ἰω. 5,48 κ,51 ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου ζήσεται εἰς τὸν αἰῶνα· καὶ ὁ ἄρτος δὲ ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστίν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. περὶ δὲ τοῦ λόγου τούτου ἀνάγνωθι καὶ ὃ μετήνεγκεν ἀπὸ τοῦ Λαυσαϊκοῦ ἐν τῷ παρ' αὐτοῦ ἐκδοθέντι βιβλίῳ ὁ τῆς ἀγάπης φερώνυμος ὄντως Ἀγάπιος. Ἁμαρτωλῶν

φ. 145β σωτηρία περιγραφομένη ἐν κεφ. ιε΄ "Περὶ θαυμασίου τοῦ δεσποτικοῦ σώματος," καὶ οὗπερ ἑξῆς μέμνηται περὶ περί τινος εὐλαβοῦς βασιλέως. τὸ δ' ἵνα μάθωμεν, ὅτι διὰ τῆς μεταλήψεως τῶν φρικτῶν τούτων μυστηρίων αὐτὸν ἐκεῖνον τὸν θεάνθρωπον Ἰησοῦν ὑποδεχόμεθα ἐν ταῖς καρδίαις ἡμῶν, ὅπερ ἄλλως οὐκ ἐνδέχετο διὰ τὸ ἀπρόσιτον πάσῃ θνητῇ φύσει τῆς ἐκείνου θεότητος καὶ λαμπρότητος, ὅτι μὴ διὰ τῆς τοιαύτης οἰκονομίας. εἰ γὰρ τὸ πρόσωπον Μωσέως, ἀνθρώπου θνητοῦ ἀπρόσιτον ἦν ἀνακεκαλυμμένον ἀνθρώποις δι' ἐπίκτητον δόξαν τε καὶ λαμπρότητα μέχρι καὶ μόνης ὄψεως, τὸ πανακήρατον ἐκεῖνο σῶμα καὶ τεθεωμένον ἤδη, καὶ θαρρῶ λέγειν ὁμόθεον, κατὰ τὸν θεολόγον εἰπεῖν, διὰ τὴν καθ' ὑπόστασιν ἕνωσιν τοῦ υἱοῦ καὶ λόγου τοῦ θεοῦ καὶ πατρός, τὸ καὶ τὰς ἡλιακὰς ἐπικρύπτον ἀκτῖνας, ἰσχύσει ποτὲ ἄνθρωπος ἐν θνητῷ σώματι μὴ μόνον εἰς ὄψιν ἀπροσώπως ἐλθεῖν, ἀλλὰ καὶ γεύσασθαι καὶ μεταλαμβάνειν;" θεουργὸν γάρ, φησί, αἷμα φρῖξον, ἄνθρωπε, βλέπων.

1 ἄνθραξ γάρ ἐστι τοὺς ἀναξίους φλέγων, θεοῖ τὸ σῶμα
καὶ θεοῖ με καὶ τρέφει". ὅτε δὲ διὰ τῆς μεταλήψεως τῶν φρι-
κτῶν τούτων μυστηρίων αὐτὸν ἐκεῖνον ὑποδεχόμεθα τὸν
θεάνθρωπον Ἰησοῦν ἐν ἡμῖν, ἀκούσον: Κύριε ὁ Θεός μου,
φησίν, οἶδα ὅτι οὐκ εἰμὶ ἄξιος οὐδὲ ἱκανὸς ——

1 (ὅλη ἡ εὐχή) εἰς φωνὴν [illegible]-
[illegible] "καὶ τὰ ἑξῆς"

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κ(αὶ) ὁ Κύριος: "ὁ τρώγων μου τὴν σάρκα κ(αὶ) πίνων μου τὸ
αἷμα ἐν ἐμοὶ μένει κἀγὼ ἐν αὐτῷ". κ(αὶ) "ἐὰν μὴ φάγητε τὴν
φ. 146α σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου κ(αὶ) πίητε αὐτοῦ τὸ αἷμα
οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς" ἤγουν ἐστὶν αὐτὸς ὁ Χριστός. "ἐγὼ
Ἑβρ. ια' 6 γάρ, φησίν, εἰμὶ ὁ ἄρτος τῆς ζωῆς" κ(αὶ) πάλιν: "ἐγώ εἰμι,
φησίν, ἡ ἀνάστασις κ(αὶ) ἡ ζωή". γον) ἵνα μάθωμεν, ὅτι
πίστεως χρῄζομεν εἰς ἁγιασμόν οὐκ ἀποδείξεως· ἵνα
πιστεύσωμεν, ὅτι ὁ φαινόμενος ἄρτος οὐκ ἔστιν ἁπλῶς
κ(αὶ) κατ' οὐσίαν ἄρτος, ἀλλὰ σῶμα, κ(αὶ) σῶμα οὐ τοῦ τυχόντος
ἀλλ' αὐτοῦ τοῦ Χριστοῦ· πανταχοῦ γὰρ πίστιν ἀπαιτού-
μεθα οὐκ ἀπόδειξιν. "ὁ πιστεύσας γάρ, φησίν, κ(αὶ) βαπτι-
Μαρκ. 15,16 σθεὶς σωθήσεται" οὐχ ὁ νοῦς κ(αὶ) καταμαθών. ὥστε ἐάν
πιστεύοντες ἀδιστάκτως, ὅτι ὁ φαινόμενος ἄρτος ἐστὶν ἀ-
ληθῶς κ(αὶ) κυρίως σῶμα Χριστοῦ, κ(αὶ) ὁ φαινόμενος οἶνος
ἐστὶν ἀληθῶς καὶ κυρίως αἷμα Χριστοῦ, κατὰ τὴν παράδο-
Ἰουν. ιβ' 13 σιν αὐτοῦ τοῦ Χριστοῦ κ(αὶ) καθεξῆς τῶν ἱερῶν ἀποστόλων,
κ(αὶ) μετ' ἐκείνους τῶν θεοφόρων κ(αὶ) θεοσόφων πατέρων κ(αὶ)

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Κορ. Α΄ ια, 23 διδασκόμεθα τῆς ἁγίας καθολικῆς κ(αὶ) ἀποστολικῆς τοῦ
Χριστοῦ ἐκκλησίας μετὰ τοιαύτης ἀδιστάκτου πίστεως
μεταλάβωμεν ἀξίως αὐτῶν¹, κ(αὶ) ἡμεῖς ἀληθῶς κ(αὶ) κυρίως ἁ-
γιαζόμεθα δι' αὐτῶν κ(αὶ) ἑνούμεθα τῷ Χριστῷ κ(αὶ) σῶμα γι-
νόμεθα τοῦ Χριστοῦ κ(αὶ) μέλη ἐκ μέρους· ἐὰν δὲ ὡς ἄρτον
μόνου κ(αὶ) οἶνον μόνον μεταλάβωμεν αὐτῶν ἀπιστοῦντες κατὰ τὸ
φαινόμενον τῇ θείᾳ γραφῇ, κἂν ἡγιασμένων τὰ μάλιστα,
οὐδὲν τῆς τοιαύτης ὠνούμεθα μεταλήψεως κατὰ τὴν
τοῦ κυρίου ἀπόφασιν· "ἐὰν μὴ φάγητε, λέγουσαν, τὴν
σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου κ(αὶ) πίητε αὐτοῦ τὸ αἷ-
μα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς", εἰ μὴ κ(αὶ) μᾶλλον ποινὰς
ἀπαιτηθησόμεθα τῆς ἀπιστίας· ὥστε πίστεως χρήζο-
μεν εἰς ἁγιασμόν· ἐπειδὴ κατὰ τὸν ἀπόστολον "χωρὶς
Εβρ. ια΄ 6. πίστεως ἀδύνατον εὐαρεστῆσαι", ὁ δὲ τούτοις ἀπιστῶν
σχολῇ γ' ἂν τοῖς ἄλλοις πιστεύσειεν· ἡ γὰρ πίστις κατὰ
Ψαλμ. ριε΄ τὸν οὐρανοφάντορα κ(αὶ) πρὸ τούτου κατὰ τὸν ἀπόστολον
Εβρ. ια΄ 1. "ἀδήλων ἐστὶ πραγμάτων ὑπόστασις κ(αὶ) ἔλεγχος οὐ βλεπο-

¹ αὐτὰ

μένειν" καὶ ἀλλαχοῦ κατὰ τὸν αὐτὸν μέγαν Βασίλειον· "ἡ
ἐν τῷ περὶ πίστ. πίστις συγκατάθεσίς ἐστιν ἀδιάκριτος τῶν ἀκουσθέντων
ἐν πληροφορίᾳ τῆς ἀληθείας τῶν κηρυχθέντων θεοῦ χάριτι",
ὥστε οἱονεὶ δοκιμασία ἐστὶ συμπάσης τῆς πίστεως ἡ τῶν συμ-
βεβηκότων τούτων ἀμεταβλησία· παρὰ ταῦτα μυστήριον
τοῦτό ἐστι, καὶ τῶν μυστηρίων αὐτῶν τὸ κεφάλαιον. τὰ δὲ μυ-
Συμε. ἐν τῷ περὶ σαγ. πν. ἐλε. στήρια πάντα δισσὰ παρὰ τοῦ θείου πνεύματος ᾠκονόμη-
κεφ. μ-μα'. ται, διπλοῖς οὖσιν ἐκ ψυχῆς τε καὶ σώματος. ἐξ ὁρωμένου τε γὰρ
σύγκειται συμβόλου καὶ χάριτος νοουμένης, ἵνα καταλλήλως
ἑκάτερον ἁγιάζηται, ὥσπερ τῷ ὁρωμένῳ τὸ ὁρώμενον, οὕτω
φ. 1466. καὶ τὸ νοούμενον τῷ νοουμένῳ, τὸ σῶμα δηλονότι καὶ ἡ ψυχή
καὶ ἵνα τὸ ὑπερφυὲς τοῦ Χριστοῦ κατάδηλον ἐντεῦθεν γένηται,
τὸ τὴν οὐσίαν μεταβάλλειν, ἄνευ τῆς τῶν συμβεβηκότων
μεταβολῆς, τελευταῖον δὲ ἵνα μάθωμεν, ὅτι οὐδὲν περιτ-
τὸν ἐν τῇ κινήσει· πάντα δὲ τὰ μυστήρια ἕνεκά του
τελεῖται, ἡ δὲ τῶν συμβεβηκότων τοῦ ἄρτου καὶ τοῦ οἴνου
ἐνταῦθα μεταβολὴ ἔτι καὶ συμβάλλεται οὐκ ἔστιν εἰπεῖν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὐδὲ γὰρ ταῦτα εἴη τὰ ἐπισυνδοῦντα ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, μετὰ τοῦ ϗ διὰ τοσαύτας ϗ τηλικαύτας αἰτίας στερεῖσθαι τὴν τούτων ἀμεταβλησίαν. (ὅρα ϗ κατωτ.)

Ἀπορία

ἀλλὰ πρὸς τὸν αὐτὸ τῶν μυστηρίων λόγον ἔχειν ἄν τις ἀπορεῖν, εἰ[1] ἡ ἀποπλήρωσις τοῦ μὴ κατὰ τὰ αὐτὰ τοῖς ἄλλοις μυστηρίοις γίγνεσθαι ϗ ἐπὶ τοῦ μυστηρίου τῆς εὐχαριστίας, ϗ τὸν μὲν ἄρτον ϗ οἶνον εἶναι σύμβολον αἰσθητὸν μένοντα αὐτὸ τοῦτο, ὅπερ ἐστίν, ἄρτος ϗ οἶνος, ἡγιασμένα μόνον, ἀλλὰ μὴ ϗ μεταβεβλημένα[2] εἰς σῶμα ϗ αἷμα. τὴν δὲ εἶναι νοουμένην χάριν διὰ τῆς ἐπικλήσεως ϗ ἐπιφοιτήσεως τοῦ ἁγίου πνεύματος τούτοις προσγινομένην. ϗ τοῦτο ἀποχρῆται καθάπερ τινὲς φασιν εἰς ἁγιασμὸν ψυχῆς τε ϗ σώματος. τί γὰρ ὅλως ἔδει ϗ τῆς κατ' οὐσίαν μεταβολῆς, ὅπερ ἐπὶ τῶν λοιπῶν οὐ γίνεται μυστηρίων

Λύσις

Πρὸς οὖν τὴν τοιαύτην ἀπορίαν, εἴρηται μὲν ϗ ἀνωτέ-

[1] ϗ τί Β. [2] Β. μεταβεβληκότα ὁ κώδ.

ρω ἀποχρώντως ἐν τῷ περὶ τῆς μετουσιώσεως, εἰς πληρεστέραν ὅμως τοῦ μυστηρίου κατάληψιν καὶ τοῦ ἀμφισβητοῦντος πληροφορίαν εἰρήσθω καὶ νῦν, ὅτι ἂν ἡμῖν ἐπινεύσοι ὁ θέλων πάντας σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. καὶ δὴ λέγομεν ἐν τῷ θεῷ συλλαμβάνοντι, ὅτι τοῦτο τῆς ἄκρας ἦν τῆς τοῦ θεοῦ φιλανθρωπίας καὶ χάριτος, τὸ καὶ ἡμᾶς αὐτοὺς ἀξιοῦν

Γεν. α'26
Ρωμ. η'26

τῆς οἰκείας αὐτοῦ καὶ θεοπρεποῦς δόξης κοινωνοὺς γενέσθαι, καὶ τοῦτ' εἶναι μάλιστα τὸ κατ' εἰκόνα γενέσθαι θεοῦ καὶ καθ' ὁμοίωσιν συμμόρφους ἤδη γεγενημένους τῆς θεοπρεποῦς εἰκόνος τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ, καὶ τούτου μάλιστα χάριν τὸν θεὸν λόγον ἐνανθρωπῆσαι καὶ σάρκα φορέσαι, ἵν' ὥσπερ φύσει ἐστὶ θεὸς τοῦτο καὶ ἄνθρωπος, ἐν Χριστῷ μὲν τῇ καθ' ὑπόστασιν ἑνώσει τε καὶ θεώσει ἐν ἡμῖν δὲ μεθέξει καὶ κοινωνίᾳ γένηται τῆς θεώσεως. οὗπερ καὶ πρὸ καιροῦ ὁ γενάρχης ἐπιθυμήσας κακουργίᾳ τοῦ πονηροῦ, ὅμως οὐκ ἐπέτυχε τῆς ἐφέσεως.

Δαμασκ.

ἐντεῦθεν καὶ ὁ ἀσματογράφος "οἴκτει, φησί, πτερνισθεὶς Ἀδὰμ καὶ συντρίβεται, ἐπειδὴ ψευσθεὶς πάλαι θεώσεως

φ. 147α καὶ πάθει τὴν ἀπάθειαν κομίζεται, θρόνῳ καὶ υἱὸς συνδοξάζε-
Ἐφεσ. β' 4 καὶ 6. ται συνεδριάζειν πατρί τε καὶ πνεύματι. ὅθεν καὶ αὐτὸς ὁ θεάν-
θρωπος Ἰησοῦς τὴν τοιαύτην συγγένειαν ἐνδεικνύμενος, "πο-
Ἰω. κ' 17. ρεύου δέ, φησί, πρὸς τοὺς ἀδελφούς μου καὶ εἰπὲ αὐτοῖς
Ρωμ. η' 26. ἀναβαίνω πρὸς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν, καὶ θεόν
μου καὶ θεὸν ὑμῶν." ὁ καὶ προειδὼς ὁ προφήτης ἔλεγεν,
ὡς ἐκ προσώπου τοῦ κυρίου: "διηγήσομαι τὸ ὄνομά σου
Ψαλ. κα' 23 τοῖς ἀδελφοῖς μου", ὅθεν καὶ ὁ ἀπόστολος: "οὐκ ἐπαισχύ-
Ἑβρ. β, 12. νεται, φησίν, ἀδελφοὺς αὐτοὺς καλεῖν λέγων: ἀπαγ-
γελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς" καὶ πολλὰ τὰ ὑποδεί-
γματα τῆς τοιαύτης θεουργικῆς ἑνώσεώς τε καὶ κοινω-
νίας· αὐτίκα γὰρ καὶ τὸ τοῦ γενάρχου περὶ τῆς Εὔας ῥη-
θὲν εἰς Χριστὸν ὁ ἀπόστολος ἐξελάβετο καὶ τὴν ἐκκλησίαν
ἤτοι τὸ σύστημα τῶν πιστῶν "τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀ-
Γεν. β' 24. στέων μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου, καὶ ἕνεκεν τούτου
καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα
καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ καὶ ἔσονται οἱ

δύο εἰς σάρκα μίαν" τὸ μυστήριον γὰρ τοῦτο, φησί, μέγα
Ἐφεσ. 5,31 1.12.23· ἐστίν· ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν" καὶ τὴν
τοιαύτην δημιουργικὴν ἕνωσίν τε καὶ συμφωνίαν, δηλαδή, καὶ ὁ Κύ-
ριος αἰνιττόμενος ἐπήγαγεν "ὥστε οὐκέτι εἰσὶ δύο, ἀλλὰ
Ματ. ιθ' 6 Μαρκ. ι' 8· σὰρξ μία· ὃ οὖν ὁ Θεὸς συνέζευξεν ἄνθρωπος μὴ χωριζέτω"
τοιαύτης γὰρ συζυγίας τῷ ὄντι ὁ Θεὸς καὶ πατὴρ ἐστιν αὐ-
τουργός, ὃς τοῦ υἱοῦ αὐτοῦ τοῦ μονογενοῦς τῇ ἁγίᾳ συνέζευξεν
ἐκκλησίᾳ· "τὸ γὰρ μυστήριον τοῦτο μέγα ἐστί, φησίν· ἐ-
Ἐφεσ. ε' 23. γὼ δὲ λέγω εἰς Χριστὸν καὶ τὴν ἐκκλησίαν" ὅθεν καὶ κεφα-
λὴ λέγεται, φησίν, ὁ ἀνὴρ τῆς γυναικὸς ὡς ὁ Χριστὸς κεφα-
Κολ. α' 18. λὴ τῆς ἐκκλησίας· οὐ μόνον δὲ κεφαλὴ ἀλλὰ καὶ νυμφίος ὁ αὐ-
Ἰω. γ' 29 Ματ. κβ' 2 καὶ κε' 1. τὸς ὡς νύμφης λέγεται τῆς ἐκκλησίας "ὁ ἔχων γάρ, φησίν,
Κορ. Β' ια' 2. τὴν νύμφην νυμφίος ἐστίν" καὶ ὁ ἀπόστολος "ἡρμοσάμην
Ψαλμ. μδ' 3. ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ·
Ματ. κε' 1,10 καὶ κβ' 12. οὗτός ἐστιν ὁ γάμος ὁ θεῖος ἐκεῖνος, ὃν ἐν τῷ παντὶ αἰῶνι ἅπαξ
ὁ Θεὸς καὶ πατὴρ ἐποίησε τῷ υἱῷ αὐτοῦ. οὗτός ἐστιν ὁ νυμφίος
ὁ ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων, μεθ' οὗ καὶ συνεισ-
έρχονται αἱ φρόνιμοι καὶ ἕτοιμοι τῶν παρθένων καὶ ὅσοι ἔχου-
σιν ἔνδυμα γάμου εἰς τὸν οὐράνιον αὐτοῦ νυμφῶνα, αἱ δὲ μω-
ραὶ καὶ ὅσοι μὴ ἔχωσιν ἔνδυμα γάμου ἀποκλείονται καὶ εἰς τὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σκεύους τὸ ἐξώτερον ἀποσμήχονται". αὕτη ἐστὶν ἡ νύμφη,
Ἆσμ. δ' 7. ἣν ὁ θεῖος οὗτος νυμφίος ἠρετίσατο καὶ προσήκατο. "ὅλη γάρ
φησί, καλὴ ἡ πλησίον μου καὶ μῶμος οὐκ ἔστιν ἐν σοί" καὶ τοι-
ταύτην ὁ κύριος συζυγίαν ἐγκελεύεται μηδένα τῶν ἀνθρώ-
πων χωρίζειν ὡς ὑπὸ τοῦ θεοῦ γεγενημένην. τὴν γὰρ ὑπὸ τῶν ἀν-
σ. 1476 θρώπων συνεζευγμένην πολλὰ καὶ ἴσως τὰ χωρίζοντα, καθά-
περ ὁ νόμος διακελεύεται· οὐδ' αἰσχρῶς διατάττεται τὴν ὑπὸ
τοῦ θεοῦ γεγενημένην συζυγίαν μηδένα χωρίζειν. πῶς ἡ τοι-
αύτη συμφυΐα καὶ ἕνωσις γίνεται θεοῦ καὶ ἀνθρώπων; "ἄν-
θρωπος γάρ, φησί, γίνεται θεός, ἵνα θεὸν τὸν Ἀδὰμ ἀπεργά-
Γρηγ. β' πασχ. σηται" καὶ σάρκα "ἐπιχύσει, φησί, τὴν ἐμὴν σάρκα, ἣν ἐγὼ
πλουτίσω τὴν αὐτοῦ θεότητα. πῶς; ὥσπερ ὁ θεὸς ἐγένετο ἄν-
θρωπος, οὕτω καὶ ὁ ἄνθρωπος θεὸς γένηται; πῶς καὶ τίνι τρό-
πῳ; οὐ γὰρ ἂν εἴποιμεν διὰ μόνης τῆς ὀρθοδόξου πίστεως
καὶ τῆς τηρήσεως τῶν τοῦ θεοῦ ἐντολῶν· ὑπερτέρα γὰρ ἀσυγ-
κρίτως τῶν ἀνθρώπων ἐν τούτοις ἐστὶν ἡ φύσις τῶν ἀγγέλων.
Ψαλ. ρβ' 20,21 "εὐλογεῖτε γάρ, φησὶν τὸν κύριον πάντες οἱ ἄγγελοι αὐ-
τοῦ δυνατοὶ ἰσχύϊ ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦ-
σαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ. εὐλογεῖτε τὸν κύριον
πᾶσαι αἱ δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ οἱ ποιοῦντες

Ἑβρ. α' 19 τό θέλημα αὐτοῦ" καί ὁ ἀπόστολος "οὐχί πάντες, φησίν, εἰσί λειτουργικά πνεύματα εἰς διακονίαν ἀποστελλόμενα διά τούς μέλλοντας κληρονομεῖν σωτηρίαν". Περί δέ τῆς περιθέσεως καί θεώσεως καί πάντων τῶν ὄντων ἀναμαρτήτου γνώσεως τῶν ἀγγέλων τί χρή καί λέγειν, οἵ καί διδάσκαλοι τά τοιαῦτα καθεστήκασι τῶν

...αν. ς' 16. κ' 19 ἀνθρώπων. ἀλλ' οὐδέπω καί σήμερον ἀκηκόαμεν διά ταῦτα

...19. θ' 21. Ἀποκ. θεουργίαν ἀγγέλων. νῦν δέ τήν ἐν ἡμῖν τῶν φρικτῶν τούτων

...ιζ' 1. μυστηρίων ἐνέργειαν θεουργίαν καί θεογενεσίαν ὁ ἱερός ἀπόστολος Διονύσιος ἐν τῷ περί τοῦ μυστηρίου τῆς συνάξεως, εἴτ' οὖν κοινωνίας θεωρίᾳ, "καί ἔστι, λέγων, τῆς θεολογίας[1] ἡ θεουργία συγκεφαλαίωσις. καί τούτων, οἱ μέν ἀμφισαλευόμενοι τῶν ἱερῶν τελετῶν οὐδέ τάς εἰκόνας ὁρῶσιν, ἀναιδῶς ἀποπεσόμενοι τῆς σωτηριώδους τῆς θεογενεσίας γεννήσεως" καί πρό τούτου ὁ τῶν ἀ-

Πετρ. Β' α' 4. ποστόλων κορυφαῖος "δι' ὧν, φησί, τά μέγιστα ἡμῖν καί τίμια ἐπαγγέλματα δεδώρηται, ἵνα διά τούτων γένησθε θείας κοινωνοί φύσεως ἀποφυγόντες τῆς ἐν κόσμῳ ἐν ἐπιθυμίᾳ φθορᾶς" καί ὁ θεῖος Δαμασκηνός Ἰωάννης, ἐν οἷς διέγνωσιν, ὅτι ὁ ἱερουργούμενος ἄρτος καί οἶνος οὐκ ἔστι τύπος τοῦ κυριακοῦ σώ-

1 θεολογίαν Β.

ματος, ἀλλ' αὐτὸ ἐκεῖνο ἀληθῶς τὸ ἴδιον σῶμα τοῦ Κυρίου
ἡμῶν Ἰησοῦ Χριστοῦ. τιμήσωμεν δέ, φησίν, αὐτὸ πάσῃ καθαρό-
τητι ψυχικῇ τε καὶ σωματικῇ· διπλοῦν γάρ ἐστι. προσέλθωμεν
αὐτῷ πόθῳ διακαεῖ, καὶ σταυροειδῶς τὰς παλάμας τυπώσαν-
τες τοῦ ἐσταυρωμένου τὸ σῶμα ὑποδεξώμεθα, καὶ ἐπιθέντες
ὀφθαλμοὺς καὶ χείλη καὶ μέτωπα τοῦ θείου ἄνθρακος μεταλά-
βωμεν, ἵνα τὸ πῦρ τοῦ ἐν ἡμῖν πόθου προσλαβὸν τὴν ἐκ τοῦ
φ. 148α ἄνθρακος πύρωσιν καταφλέξῃ τὰς ἁμαρτίας ἡμῶν καὶ
φωτίσῃ ἡμῶν τὰς καρδίας, καὶ τῇ μετουσίᾳ τοῦ θείου πυ-
ρὸς πυρωθῶμεν καὶ θεωθῶμεν." καὶ ὁ μακαριώτατος Νικό-
λαος ἐπίσκοπος Μεθώνης, ἐν οἷς ὁ λόγος αὐτοῦ πρός τινας
διστάζοντας καὶ λέγοντας, ὅτι ὁ ἱερουργούμενος ἄρτος καὶ οἶνος
οὐκ ἔστι σῶμα καὶ αἷμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.
"αἰτία δέ, φησι, τῆς παραδόσεως ἡ τῆς μεγάλης ταύτης εὐερ-
γεσίας ἀνάμνησις· σῶμα δὲ καὶ αἷμα Χριστοῦ τὰ τελούμε-
να, τῆς τελετῆς τέλος ἡ μετουσία Χριστοῦ καὶ ζωὴ αἰώνιος. ταύ-
την δὲ κοινὴν τῶν μετεχόντων ἐκδίδωσι, καὶ ὁ θεσπέσιος
Κορ. Α' ι' 16. Παῦλος μεγαλοφώνως βοᾷ· τὸ ποτήριον τῆς εὐλογίας, ὃ

Ρωμ. ιβ' 5

εὐλογοῦμεν, οὐχὶ κοινωνία τοῦ αἵματος τοῦ Χριστοῦ ἐστιν" εἶτα εἰσάγει καὶ λογισμόν, πῶς γινόμεθα σῶμα Χριστοῦ, καί φησιν: "τὸν ἄρτον ὃν κλῶμεν, οὐχὶ κοινωνία τοῦ σώματος τοῦ Χριστοῦ ἐστιν; ὅτι εἷς ἄρτος, ἓν σῶμα οἱ πολλοί ἐσμεν· οἱ γὰρ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου μετέχομεν." "τί γάρ ἐστι, φησίν, ὁ ἄρτος; δηλονότι σῶμα Χριστοῦ. τί δὲ γίνονται οἱ μεταλαμβάνοντες; δηλονότι σῶμα Χριστοῦ. μετέχοντες γὰρ τοῦ σώματος τοῦ Χριστοῦ καὶ ἡμεῖς ἐκεῖνο γινόμεθα. ἐπειδὴ γὰρ ἡ παλαιὰ ἡμῶν σάρξ διεφθάρη ὑπὸ τῆς ἁμαρτίας, ἐδέησεν ἡμῖν σαρκὸς νέας". ταῦτα εἰπὼν ἑξῆς πικρῶς καθάπτεται τῶν τὴν παράδοσιν ἀθετούντων τῶν φρικτῶν τούτων μυστηρίων. καὶ τρανότερον πάντων ὁ Νυσσαέων Γρηγόριος περὶ τούτου διέξεισιν, ἐν οἷς καὶ τοῦτο δείκνυσιν, ὅτι ὁ ἁγιαζόμενος ἄρτος εἰς σῶμα τοῦ θεοῦ λόγου μεταποιεῖται, καὶ ὅτι ἐπάναγκες τῇ ἀνθρωπείῳ φύσει αὐτοῦ μεταλαμβάνειν. "ὁ δὲ φανερωθείς, φησί, θεὸς διὰ τοῦτο κατέμιξεν ἑαυτὸν τῇ ἐπικήρῳ φύσει, ἵνα τῇ τῆς θεότητος κοινωνίᾳ συναποθεωθῇ τὸ ἀνθρώπινον· τούτου χάριν πᾶσι τοῖς πεπιστευκόσι τῇ οἰκονομίᾳ

τῆς χάριτος ἑαυτὸν ἐνσπείρει διὰ τῆς σαρκός, ἧς ἡ σύστασις ἐξ οἴνου τε καὶ ἄρτου ἐστί, τοῖς σώμασι τῶν πεπιστευκότων κατακιρνάμενος, ὡς ἂν τῇ πρὸς τὸ ἀθάνατον ἑνώσει καὶ ὁ ἄνθρωπος τῆς ἀφθαρσίας μέτοχος γένοιτο. ταῦτα δὲ δίδωσι τῇ τῆς εὐλογίας δυνάμει πρὸς ἐκεῖνο μεταστοιχειώσας τῶν φαινομένων τὴν φύσιν" καὶ ὁ Μεταφραστής "ἄφες μοι, φησίν, Θεὲ τῶν ὅλων, ἵνα καθαρᾷ καρδίᾳ περιτρόμῳ διανοίᾳ

φ. 148β

γραφὴ ξένης

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ πολλὰ τοιαῦτα ἂν εὕροις παρὰ τοῖς θείοις πατράσι ἐκπεφθεγγό-
μενα τοῖς θείοις λογίοις. Εἰ γὰρ κατὰ τὸν Νύσσης Γρηγόριον, τὸ
κυριακὸν ἐκεῖνο σῶμα τῇ ἐνοικήσει τοῦ Θεοῦ Λόγου πρὸς τὴν
θείαν ἀξίαν μετεποιήθη, καὶ ἐθεώθη, ὡς φησι καὶ ὁ τῆς θεολογίας
λογ. Πασχ. ἐπώνυμος καὶ τούτῳ ὁμώνυμος, "προελθὼν δέ, φησί, μετὰ τῆς προσ-
λήψεως ἓν ἐκ δύο τῶν ἐναντίων, σαρκὸς καὶ πνεύματος, ὧν τὸ
μὲν ἐθέωσε, τὸ δὲ ἐθεώθη" ὁ τὸ τεθεωμένον ἤδη σῶμα καὶ ἐνοί-
κιον ἔχον τὸν Θεοῦ Λόγον, καὶ ταὐτὸν εἰπεῖν αὐτὸν τὸν θεάνθρω-
πον Ἰησοῦν διὰ τῆς μεταλήψεως τῶν ἀχράντων αὐτοῦ μυστηρί-
ων ἐν ἑαυτῷ πραγματικῶς ἐνεργείᾳ ὑποδεχόμενος διαπαντὸς
χωροῦντα ψυχῆς καὶ σώματος, καθάπερ τὸ πῦρ διὰ παντὸς χωρεῖ
τοῦ σιδήρου, πῶς οὐ γίνεται καὶ ὁ ἄνθρωπος, καίτοι μὴ τῆς οἰκεί-
Λουκ. γ' 16 ας ἐξιστάμενος φύσεως, τῇ μεθέξει Θεός, καθάπερ καὶ ὁ
σίδηρος τῇ μεθέξει γίνεται πῦρ. Ὥσπερ γὰρ τὸ πῦρ οὐ μεταβάλ-
κατ' Εὐνομ. περὶ τοῦ ἁγ. πνεύμ. λογ. γ' λεται εἰς τὸν σίδηρον, οὐδέ τι τῶν ἐκείνου ἰδιωμάτων, μεταλαμ-
βάνει, ἀλλὰ μᾶλλον τὸν σίδηρον εἰς ἑαυτὸ μεταβάλλει, καίτοι
κατὰ τὴν οὐσίαν καὶ αὐτὸν φύσιν ἀμετάβλητον μένοντα, καὶ
ποιεῖ αὐτὸν εἶναι τῇ πυρώσει πῦρ, οὕτω καὶ ὁ Κύριος ἡμῶν

Ἰησοῦς Χριστὸς ἐν ἡμῖν εἰσερχόμενος διὰ τῆς μεταλήψεως
τῶν ἀχράντων αὐτοῦ μυστηρίων (ὁ τρώγων γάρ, φησί, μοῦ τὴν
σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ). ὅ-
θεν καὶ ὁ μέγας Βασίλειος ἐν τῇ κατ' αὐτὸν ἱερουργίᾳ "ἵνα,
φησίν, ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν ὑπο-
δεχόμενοι τὴν μερίδα τῶν ἁγιασμάτων σου ἑνωθῶμεν τῷ
ἁγίῳ σώματι καὶ αἵματι τοῦ Χριστοῦ σου καὶ ὑποδεξάμενοι
αὐτὰ ἀξίως σχῶμεν τὸν Χριστὸν κατοικοῦντα ἐν ταῖς καρδί-
αις ἡμῶν". οὕτως οὖν ἐνοικήσας ἡμῖν ὁ κύριος ἡμῶν Ἰη-
Ἠσ. 5,6. σοῦς Χριστὸς ὁ νοητὸς ἄνθραξ κατὰ τὸν Ἠσαΐαν καὶ γὰρ
ὁ θεὸς ἡμῶν πῦρ καταναλίσκον, οὐκ αὐτὸς μεταβάλλε-
ται εἰς τὴν φύσιν ἡμῶν, οὐδέ τινος μεταλαμβάνει τῶν ἐν
ἡμῖν, ἀλλ' ἡμᾶς αὐτοὺς εἰς ἑαυτὸν μεταβάλλει, καίτοι
μὴ τῆς αἰτίας ἐξεστηκότας φύσεως, καὶ ποιεῖ τῇ θεώσει
θεοὺς καὶ τῶν αἰωνίων μεταδίδωσιν αὐχημάτων, καὶ μὴ
καὶ τῆς δόξης καὶ βασιλείας· συνεπείᾳ τούτου μάλιστα
χάριν ὁ ἄρτος καὶ ὁ οἶνος εἰς σῶμα καὶ αἷμα μεταβάλλ-

καὶ τοῦ Χριστοῦ, ἵνα οἱ ἀξίως μετασχόντες τῶν μυστηρίων πληρωθῶσι καὶ θεωθῶσι καὶ υἱοὶ ὑψίστου κατασταθῶσιν, ἵνα καὶ συμβασιλεύσωσιν αὐτῷ καὶ συνδοξασθῶσιν· οὐ γὰρ μικρόν τι ζῶον τὴν ἀξίαν ὁ ἄνθρωπος, οὗ χάριν ὁ τοιοῦτος δημιουργὸς τὸν σύμπαντα συνεστήσατο κόσμον καὶ πάντα ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ, καὶ μετὰ Θεὸν δεσπότης καὶ βασιλεὺς τῶν αἰσθητῶν ἁπάντων, ἐπεὶ καὶ ἄγγελοι τούτῳ καθυπηρετοῦσιν ἐπιτάγματι τοῦ παμβασιλέως Θεοῦ κατὰ τὸν εἰπόντα: "οὐχὶ πάντες πάντως εἰσὶ λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν". Τί λοιπά; αὐτὸς ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ κύριος τῶν κυριευόντων ἄνθρωπος διὰ τὸν ἄνθρωπον γίνεται, καὶ οὐ περὶ τοῦ τυχόντος δηλαδή, ἀλλὰ παμμεγίστου τινός· "οὐ γὰρ δήπου, φησίν, ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται". ὅθεν καὶ ὁ προφήτης ἐκπληττόμενος ἔλεγεν: "τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν;" οὐδὲν γὰρ οὕτω τῶν πάντων τὸ παντοδύναμον καὶ πάνσοφον καὶ πανά-

φ 149α

Ψαλμ. η' 7.
Ἑβρ. α' 14
Τιμ. α' 5,14.

Ἑβρ. β' 12.

Ψαλμ. η' 5.

γαθον τοῦ Θεοῦ διετράνωσεν, καὶ ἡ περὶ ἡμᾶς τοῦ Θεοῦ οἰκο-
νομία· διὰ τοῦτο καίπερ ἡμαρτηκότα καὶ τὴν ἐντολὴν παρα-
βάντα τὸν ἄνθρωπον ὑπὲρ πᾶσαν ὅμως ἀγάπην ἠγάπησεν
Ἰω. ιε΄ 13. ὁ Θεός. διό καὶ ὁ κύριος ἐν εὐαγγελίοις "μείζονα, φησί, ταύ-
της ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν
φίλων αὐτοῦ." αὐτὸς γὰρ ἐστιν ὁ ποιμὴν ὁ καλός, ὁ τιθεὶς
Ἰω. γ΄ 16. τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν προβάτων. "οὕτω γάρ, φησίν,
ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονο-
γενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ'
ἔχῃ ζωὴν αἰώνιον." καὶ ὁ ἀπόστολος "ἔτι γάρ, φησί, Χριστὸς
Ρωμ. ε΄ 6 ὄντων ἡμῶν ἀσθενῶν κατὰ καιρὸν ὑπὲρ ἀσεβῶν ἀπέθανε·
μόλις γὰρ ὑπὲρ δικαίου τις ἀποθανεῖται· ὑπὲρ γὰρ τοῦ
ἀγαθοῦ τάχα τις τολμᾷ ἀποθανεῖν. συνίστησι τὴν ἑαυτοῦ ἀ-
γάπην εἰς ἡμᾶς ὁ Θεός, ὅτι ἔτι ἁμαρτωλῶν ὄντων ἡμῶν Χρι-
στὸς ὑπὲρ ἡμῶν ἀπέθανεν". καὶ τοσαύτης τιμῆς ἠξίωσε
τὸν ἄνθρωπον ὁ Θεός, ὥστε καὶ καθ' ὑπόστασιν αὐτῷ ἑνω-
θῆναι διὰ τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, ἵνα καὶ πάντας ἀνθρώ-
πους σώσῃ διὰ τῆς μεταλήψεως τοῦ παναχράντου

σώματος καὶ αἵματος τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ συναποθεώ-
σῃ, καὶ ἔσηται καὶ τῆς ὁμοίας αὐτῷ κοινωνοὺς ἕξῃ καὶ δόξης
καὶ βασιλείας, ἑνοποιήσας ἡμᾶς οὕτως αὐτὸς ἑαυτῷ. αὐτὸς γὰρ
ἐστὶν καὶ νῦν ὁ προσφέρων καὶ προσφερόμενος, ὁ ἱερουργῶν καὶ
ἱερουργούμενος, αὐτὸς καὶ τὸ ὑπερουράνιόν ἐστι θυσιαστή-
ριον, αὐτὸς καὶ ὁ προσδεχόμενος τὰ τίμια καὶ ἅγια δῶρα καὶ
τὸ τοιοῦτον θυσιαστήριον, ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς
Ἰω. ιζ΄ 19 ταὐτὸν εἰπεῖν εἰς ἑαυτὸν μεταβάλλων. "καὶ ὑπὲρ αὐτῶν γάρ, φησιν,
φ. 149ε ἐγὼ ἁγιάζω ἐμαυτόν, ἵνα καὶ αὐτοὶ ὦσιν ἡγιασμένοι ἐν ἀλη-
θείᾳ, ἵνα πάντες ἓν ὦσι, καθὼς σύ, πάτερ, ἐν ἐμοὶ κἀγὼ ἐν
σοί, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν". ὅτι δὲ καὶ θυσιαστήριον, καὶ
ὁ προσδέχεται τὰ τίμια καὶ ἅγια δῶρα ἐστὶν ὁ αὐτός, ὁ ἱερώ-
τατος μαρτυρεῖ Διονύσιος ἐν τῷ περὶ τοῦ μύρου λόγῳ· "εἰ
γάρ ἐστι, φησί, τὸ ἱερώτατον ἡμῶν θυσιαστήριον Ἰησοῦς, ἡ
θεαρχικὴ τῶν θείων νόων ἀφιέρωσις, ἐν ᾧ κατὰ τὸ λόγιον
ἀφιερούμενοι καὶ μυστικῶς ὁλοκαυτούμενοι τὴν προσα-
γωγὴν ἔχομεν, ὑπερκοσμίοις ὀφθαλμοῖς ἐποπτεύσωμεν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αὐτὸ τὸ θειότατον θυσιαστήριον. ὅτι δὲ κοινωνοὺς ἡμᾶς τῆς οἰκείας ἐν τῇ τοιαύτῃ ἑνότητι ποιεῖται δόξης αὐτὸς ἐξῆς ὁ Κύριος ἐπισυνάπτει λέγων· "καὶ ἐγὼ τὴν δόξαν ἣν δέδωκάς μοι, δέδωκα αὐτοῖς, ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς ἕν ἐσμεν, ἐγὼ ἐν αὐτοῖς καὶ σὺ ἐν ἐμοί, ἵνα ὦσι τετελειωμένοι εἰς ἕν, καὶ ἵνα γινώσκῃ ὁ κόσμος, ὅτι σύ με ἀπέστειλας καὶ ἠγάπησας αὐτούς, καθὼς ἐμὲ ἠγάπησας· πάτερ, οὓς δέδωκάς μοι, θέλω, ἵνα ὅπου εἰμὶ ἐγὼ κἀκεῖνοι ὦσι μετ' ἐμοῦ, ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμήν, ἣν ἔδωκάς μοι, ὅτι ἠγάπησάς με πρὸ καταβολῆς κόσμου". τὴν δὲ τοιαύτην ἑνότητα καὶ πνευματικὴν συμφυΐαν ἀσχέτου καὶ ὁ ἀπόστολος μαρτυρεῖ λέγων· "ὑμεῖς δὲ ἐστέ, φησί, σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους", τὸ δὲ "καθάπερ γάρ, φησίν, ἐν ἑνὶ σώματι μέλη πολλὰ ἔχομεν, τὰ δὲ μέλη πάντα οὐ τὴν αὐτὴν ἔχει πρᾶξιν, οὕτως οἱ πολλοὶ ἓν σῶμά ἐσμεν ἐν Χριστῷ, ὁ δὲ καθ' εἷς ἀλλήλων μέλη". καὶ πάλιν "τὸ ποτήριον, φησί, τῆς εὐλογίας, ὃ εὐλογοῦμεν, οὐχὶ κοινωνία τοῦ αἵματος τοῦ Χριστοῦ ἐστι; τὸν ἄρτον, ὃν κλῶμεν, οὐχὶ κοινωνία τοῦ σώματος τοῦ Χριστοῦ ἐστιν;" καὶ ταῦτα εἰπών

Κορ. Α΄ ιβ΄ 27
Ρωμ. ιβ΄ 4.

ἐπιφέρει λέγων "ὅτι εἷς ἄρτος, ἓν σῶμα οἱ πολλοί ἐσμεν· οἱ γάρ
Κορ. Α΄ ι΄ 16. πάντες ἐκ τοῦ ἑνὸς ἄρτου μετέχομεν" καὶ ἐν κεφ. ε΄ τῆς πρὸς Ἐφε-
σίους ἐπιστολῆς ἐδαφίῳ 28. "οὕτως ὀφείλουσι, φησίν, οἱ ἄν-
δρες ἀγαπᾶν τὰς ἑαυτῶν γυναῖκας ὡς τὰ ἑαυτῶν σώματα. ὁ ἀ-
γαπῶν τὴν ἑαυτοῦ γυναῖκα, ἑαυτὸν ἀγαπᾷ· οὐδεὶς γάρ ποτε
τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν, ἀλλ' ἐκτρέφει καὶ θάλπει αὐτήν
καθὼς καὶ ὁ κύριος τὴν ἐκκλησίαν, ὅτι μέλη ἐσμὲν τοῦ σώ-
ματος αὐτοῦ ἐκ τῆς σαρκὸς αὐτοῦ καὶ ἐκ τῶν ὀστέων αὐτοῦ"
τὴν δὲ τοιαύτην πνευματικὴν συμφυΐαν τοῦ νοητοῦ νυμφίου
Χριστοῦ πρὸς τὴν πνευματικὴν νύμφην καὶ σύζυγον αὐτοῦ
ἐκκλησίαν καὶ τὸν γενάρχην αὐτὸν προανακεκηρυκέναι
φ. 150a <φησὶν> εἰπόντα ὡς δῆθεν περὶ ἑαυτοῦ καὶ τῆς Εὔας "τοῦτο νῦν
Γεν. 2.24. ὀστοῦν ἐκ τῶν ὀστέων μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου· αὕτη
κληθήσεται γυνή, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη" λέγων [1] "ἕνε-
κεν [2] τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν
Ἐφεσ. ε΄ 31. μητέρα καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ καὶ ἔ-
σονται οἱ δύο εἰς σάρκα μίαν". καὶ ταῦτα εἰπὼν ἐπιφέρει τό

1 ἀσυνάρτητον. 2 ἡ ἔκδ. Παπ. ἔχει: ἀντί.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

"δοτιοῦν αὐτῷ λέγω;" τὸ μυστήριον τοῦτο μέγα ἐστίν· ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ τὴν ἐκκλησίαν." καὶ ἐν τῇ πρὸς Γαλάτας ἐπιστολῇ κεφ. γ' ἐδαφίῳ 28, "οὐκ ἔνι, φησίν, Ἰουδαῖος, οὐδὲ Ἕλλην· οὐκ ἔνι δοῦλος, οὐδὲ ἐλεύθερος· οὐκ ἔνι ἄρσεν καὶ θῆλυ· πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ." καὶ πάλιν ἐν τῇ πρὸς Ἐφεσίους ἐπιστολῇ κεφ. δ' ἐδαφίῳ 3· "σπουδάζοντες, φησί, τηρεῖν τὴν ἑνότητα τοῦ πνεύματος ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης, ἓν σῶμα καὶ ἓν πνεῦμα, καθὼς καὶ ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ὑμῶν· εἷς κύριος, μία πίστις, ἓν βάπτισμα, εἷς θεὸς καὶ πατὴρ πάντων, ὁ ἐπὶ πάντων καὶ διὰ πάντων καὶ ἐν πᾶσιν ὑμῖν[1]." τῷ ὄντι γὰρ εἷς ὢν ὁ θεὸς καὶ πάντας ἡμᾶς, οὓς ἔπλασε κατ' εἰκόνα ἰδίαν, ἓν εἶναι μεθ' ἑαυτοῦ βούλεται· εἰ γὰρ καὶ πολλαί εἰσιν αἱ τοῦ αὐτοῦ καὶ ἑνὸς εἰκόνες, ἀλλὰ τὸ εἰκονιζόμενον ἐν πάσαις ἓν εἶναι βούλεται καὶ ταὐτὸν τῷ πρωτοτύπῳ· ὅθεν καὶ ὁ τῆς Θεσσαλονίκης φωστὴρ ἐν τῷ περὶ τῆς ἱερᾶς λειτουργίας "κοινωνία ἐστί, φησιν, ἕνωσις θεοῦ μεθ' ἡμῶν, θέωσις ἡμῶν, ἁγιασμός" καὶ μετ'

Συμβ. Θεσσ. κεφ. οη'

[1] ἡμῖν.

ὀλίγα· «τί ἕτερον; ἢ θεοῦ συγκρασις καὶ κοινωνία». καὶ ἐν τῷ περὶ ἀναστάσεως κεφ. μα΄ «διὰ τοῦτο γάρ, φησί, καὶ γὰρ ἐνηνθρώπησεν, ἵνα ἑνωθῶμεν αὐτῷ καὶ ἵνα ἁγιασθῶμεν δι᾽ αὐτοῦ» ὅθεν καὶ ὁ τοῦ οὐρανοφάντορος αὐτάδελφος Νυσσαέων Γρηγόριος ἐν ἀρχῇ τοῦ προμνημονευθέντος αὐτοῦ λόγου «ὥσπερ, φησίν, ἃ δηλητήριον δι᾽ ἐπιβουλῆς λαβόντες, ἄλλῳ φαρμάκῳ τὴν φθοροποιὸν δύναμιν ἔσβεσαν· χρὴ δὲ καθ᾽ ὁμοιότητα τοῦ ὀλεθρίου καὶ τὸ ἀλεξιτήριον ἐντὸς τῶν ἀνθρωπίνων γίνεσθαι σπλάγχνων, ὡς ἂν δι᾽ ἐκείνων ἐφ᾽ ἅπαν καταμερισθείη τὸ σῶμα ἡ τοῦ βοηθοῦντος δύναμις. οὕτω τοῦ διαλύοντος τὴν φύσιν ἡμῶν ἀπογευσάμενοι πάλιν ἀναγκαίως καὶ τοῦ συνάγοντος τὸ διαλελυμένον προσεδεήθημεν, ὡς ἂν ἐν ἡμῖν γενόμενον τὸ τοιοῦτον ἀλεξιτήριον τὴν προενεχθεῖσαν τῷ σώματι τοῦ δηλητηρίου βλάβην διὰ τῆς οἰκείας ἀντιπαθείας ἀπώσοιτο. τί οὖν ἐστι τοῦτο; οὐδὲν ἕτερον ἢ ἐκεῖνο τὸ σῶμα, ὃ τοῦ τε θανάτου κρεῖττον ἐδείχθη καὶ τῆς ζωῆς ἡμῶν κατήρξατο. καθάπερ γὰρ
φ. 150β μικρὰ ζύμη, φησὶν ὁ ἀπόστολος, ὅλον τὸ φύραμα πρὸς ἑαυτὴν ἐξομοιοῖ, οὕτω καὶ τὸ ἀθανατισθὲν ὑπὸ τοῦ θεοῦ σῶμα ἐν τῷ ἡμετέρῳ γενόμενον, ὅλον πρὸς ἑαυτὸ μεταποιεῖται[1] καὶ

1 μεταποιεῖτε

μεταποιοῦσιν. ὡς γὰρ τοῦ φθοροποιοῦ πρὸς τὸ ὑγιαῖνον ἀναμιχθέντος ἅπαν τὸ ἀναμιχθὲν συγχρεῖται (;) οὕτω καὶ τὸ ἀθάνατον σῶμα ἐν τῷ ἀναλαβόντι ἑαυτὸ γενόμενον πρὸς τὴν ἑαυτοῦ φύσιν τὸ πᾶν μετεποίησεν. ἀλλὰ μὴν οὐκ ἔστιν ἄλλως ἐντός τι γενέσθαι τοῦ σώματος, εἰ μὴ διὰ βρώσεως ἢ πόσεως τοῖς σπλάγχνοις καταμιγνύμενον. οὐκοῦν ἐπάναγκες κατὰ τὸν δυνατὸν τῇ φύσει τρόπον τὴν ζωοποιὸν δύναμιν τῷ σώματι δέξασθαι. μόνου δὲ τοῦ θεοδόχου σώματος ἐκείνου ταύτην τὴν χάριν δεξαμένου, ἄλλως δὲ δειχθέντος μὴ εἶναι δυνατὸν ἐν ἀθανασίᾳ γενέσθαι τὸ ἡμέτερον σῶμα, εἰ μὴ διὰ τῆς πρὸς τὸ ἀθάνατον κοινωνίας ἐν μετουσίᾳ τῆς ἀφθαρσίας γενόμενον, σκοπῆσαι προσήκει πῶς ἐγένετο δυνατὸν τὸ ἓν ἐκεῖνο σῶμα ταῖς τοσαύταις τῶν πιστῶν μυριάσι κατὰ πᾶσαν τὴν οἰκουμένην εἰσαεὶ καταμεριζόμενον ὅλον ἑκάστου διὰ τοῦ μέρους γίνεσθαι καὶ αὐτὸ μένειν ἐν ἑαυτῷ ὅλον." ὃ καὶ δείκνυσιν ἐπάναγκες γίνεσθαι διὰ τῆς τοῦ ἄρτου καὶ τοῦ οἴνου εἰς σῶμα καὶ αἷμα τοῦ Κυρίου μεταβολῆς, ἀμεταθέτου δηλονότι μένοντος τοῦ πρωτοτύ-

που κυριακοῦ σώματος, μεταλαμβανομένων δὲ κατ' εἰς αὐτὸ ἐκεῖνο μεταβαλλομένων καὶ αὐτὸ τοῦτο ἐκεῖνο γεγενημένων, τοῦ κυρίου εἰπόντος: "ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου καὶ πίνητε αὐτοῦ τὸ αἷμα οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς". ὅθεν καὶ ὁ ῥηθεὶς Συμεὼν ὁ Θεσσαλονίκης ἐν τῷ τέλει τοῦ ἐφεξῆς κεφαλαίου "διό, φησί, καὶ μυρίων προσφερόντων καθ' ἑκάστην καὶ ἐν ταὐτῷ ἱερουργ[ούντ]ων ἕν ἐστι τὸ σῶμα καὶ αἷμα, καὶ μία ἡ θυσία καὶ οὐ πολλαί". καὶ γάρ φησι καὶ ὁ παρ' αὐτῷ μνημονευόμενος ἐν τῷ περὶ τοῦ ἱεροῦ Γρηγορίου Θεσσαλονίκης τοῦ θαυματουργοῦ Νικόλαος ὁ Καβάσιλας ἐν τῇ κατ' αὐτὸν ἑρμηνείᾳ τῆς θείας λειτουργίας κεφ. λγ΄ "ἡ ὑπερφυὴς αὕτη θυσία τοῦ κυριακοῦ σώματος καὶ ἔστι καὶ λέγεται, γίνεται δὲ καὶ τελεῖται ἐν αὐτῷ τῷ ἁγιάζεσθαι καὶ μεταβάλλειν, ὡς εἴρηται, τὸν ἄρτον καὶ τὸν οἶνον εἰς σῶμα καὶ αἷμα Χριστοῦ. ἐπεὶ δὲ τοῦτο ἕν ἐστι καὶ ἅπαξ [illegible] καὶ τέθυται ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, τὸ εἰς ὃ τὰ πολλὰ μεταβάλλεται καὶ μεταποιεῖται τῇ ἐπιφοιτήσει καὶ ἐνεργείᾳ τοῦ
φ. 151α ἁγίου πνεύματος, "διὰ τοῦτο, φησί, καὶ ὁ τὰ θεῖα σοφώτατος

1 κεφ. λϛ΄ Β.

Συμεών[1], ὅτι καὶ μυρίων προσφερομένων καθ' ἑκάστην, καὶ ἐν πολλοῖς ἱερουργουμένων, ἕν ἐστι τὸ σῶμα καὶ αἷμα καὶ μία ἡ θυσία καὶ οὐ πολλαί, καὶ ὥσπερ (φησὶν ὁ Καβάσιλας) τὸ μὲν μεταβαλλόμενον πολλὰ καὶ ἡ μεταβολὴ πολλάκις, τὸ δὲ εἰς ὃ μεταβάλλεται, οὐδὲν κωλύει ἓν καὶ τὸ αὐτὸ εἶναι, καθάπερ σῶμα ἕν, οὕτω καὶ σφαγὴν τοῦ σώματος μίαν."

Τί τὸ μεταλαμβανόμενον.

Πρὸς δὲ τοὺς λέγοντας[2] κατά τι[να] ἀπειρίαν περιγραπτοῦ ῥητέον, ὡς ἀρτίως διείληπται, ὅτι ἡμεῖς οὐκ αὐτὸ τοῦτο ἐκεῖνο τὸ πρωτοτύπως παθὸν καὶ ἅπαξ εἰς θυσίαν προσενεχθὲν τῷ θεῷ καὶ πατρὶ ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ νῦν τοῖς ὀδοῦσι καταναλισκόμενον, τὸ ἀναληφθὲν εἰς τοὺς οὐρανοὺς καὶ ἐν δεξιᾷ καθίσαν τοῦ θεοῦ καὶ πατρὸς κυριακὸν σῶμα ~~[μεταλαμβάνομεν]~~, ἵνα καὶ παραγίνοιτο καὶ ὑποσταίη κατ' αὐτοῖς τοῖς τοῦ ἄρτου καὶ οἴνου συμβεβηκόσιν, ἄπαγε! περὶ οὗ καὶ ἔλεγε πάθη

[1] Κι ἐν τῷ τέλει τοῦ ἑξῆς κεφ. 48, Β. [2] λεγοῦντας Β.

τοῦ ἔτι ὄντος, ὅπου οὖν οὐ συντριβήσεται ἀπ' αὐτοῦ· ἐπεὶ οὐκ ἐκ ἀπαθὲς ἤδη καὶ ἄφθαρτον ἦν, ἀλλὰ παθητὸν ἔτι καὶ θνητόν, οὔτε μὲν ἅπαξ, ὡς εἴρηται, ἀλλὰ πολλάκις καὶ μυριάκις ἔπασχεν ἀπό- σπιείραι καὶ νῦν ὁ Σωτὴρ τοῦ κόσμου Χριστός· εἰ δὲ καὶ τοῦτο ἦν καὶ νῦν ἐπὶ τοῦ θεανδρώπου σωτῆρος Χριστοῦ, πολλῷ μᾶλλον τὰ σώματα τῶν ἁγίων ἦσαν ἂν μετὰ τὴν ἀνάστασιν φθαρτά τε καὶ παθητά. νῦν δὲ οὐδ' ἅπαξ διεφθάρη τὸ πανακήρατον ἐκεῖνο σῶμα, εἰ καὶ τῇ φύσει τέως φθαρτὸν ἦν καὶ παθητὸν ὡς τη- λικαῦτα πάθη ὑποστάν· καὶ τοῦτο προορῶν ὁ προφήτης ἔλεγεν ὡς ἀπὸ προσώπου τοῦ κυρίου Ἰησοῦ Χριστοῦ: "οὐκ ἐγκατα-

Ψαλμ. ιε' 10 λείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν". ὅθεν καὶ ὁ θεῖος Ἰωάννης ὁ Δαμασκηνός ἐν τοῖς ᾀσματικοῖς αὐτοῦ κανόσι πολλαχοῦ τοῦτο κηρύττει ποτὲ μὲν λέγων· "ἡ γὰρ σάρξ σου διαφθορὰν οὐκ εἶδε[1]" ποτὲ "φθορὰν θανάτου καταδεξάμενος διαφθορᾶς ἐτήρησας τὸ σῶμά σου ἄγευστον" καὶ ὁ ἀπόστολος Ῥωμαίοις γράφων:

Ρωμ. 5,9 "Χριστός, φησίν, ἐγερθεὶς ἐκ νεκρῶν οὐκέτι ἀποθνήσκει. θάνατος αὐτοῦ οὐκέτι κυριεύει· ὃ γὰρ ἀπέθανε τῇ ἁμαρ-

[1] οὐδὲ ἡ ψυχή σου τῷ ᾅδῃ ξενοπρεπῶς ἐγκαταλέλειπται· οὐδὲ ἴσως δυνατὸν τὸ ἅπαξ ἀπαθανατισθὲν καὶ ἀφθαρτισθὲν τινος αὖθις πάθος (γρ. πάθους) ἐν πείρᾳ γίνεσθαι Β.

τά ἀποθανεῖν ἐφάπαξ, ὅ δέ ζῇ, ζῇ τῷ Θεῷ" κ. ὁ κύριος
Ρωμ. 8,1 κ. 10,17 "τοῦτο ποιεῖτε, φησίν, εἰς τήν ἐμήν ἀνάμνησιν". οὐκ ἄν δ'
ὅπου ἀνάμνησις τό μυστήριον ἦν αὐτοῦ ἐκείνου, οὗ ἦν ἀνά-
μνησις κ. τοῦ πάσχοντος. ἄλλως τε κ. ἁπλῶς ἀδύνατόν τι ἅπαξ
ἀπαθανατισθέν κ. ἀπαφθαρτισθέν τινός αὖθις ποτέ πάθους
φ. 157β ἐν πείρᾳ γενέσθαι, καθά πού φησιν ἐν τῷ μνημονευθέντι λό-
γῳ ὁ θεῖος Δαμασκηνός· "οὐχ ὅτι, φησίν, αὐτό τό ἀναληφθέν
σῶμα ἐξ οὐρανοῦ κατέρχεται, ἀλλ' ὅτι αὐτός ὁ ἄρτος κ. ὁ
οἶνος μεταποιεῖται εἰς σῶμα κ. αἷμα Θεοῦ". οὔκουν ⟨οὖν⟩
αὐτό ἐκεῖνο ἀμέσως μεταλαμβάνομεν τό πρωτότυπον, ὅπερ
οὐδέποτε γέγονεν, τό ἀκήρατον ἐκεῖνο σῶμα, ἀλλά τό ἐξ
αὐτό τοῦτο μεταβληθέν κ. ἐν αὐτῷ ταὐτά γεννηθέν. "ἕν γάρ
φησίν, ἐστί τό σῶμα κ. αἷμα κ. μία ἡ θυσία Τ τελεῖται πᾶσα
κ. τίνα τρόπον τό φρικτόν ἐκεῖνο διηγησάμενος δεῖπνον
κ. ὅπως αὐτό παρέδωκε πρό τοῦ πάθους τοῖς ἁγίοις αὐτοῦ
μαθηταῖς κ. ὡς ἐδέξατο ποτήριον, κ. ὡς ἔλαβεν ἄρτον κ. εὐ-
χαριστήσας ἔκλασεν, κ. ὡς εἶπε, δι' ὧν ἐδήλωσε τό μυστήριον

Τ κ. οὐ πολλαί· διό φησί κ. ὁ ῥηθείς Νικόλαος ὁ Καβάσιλας "εἶτα ἱερουργεῖ ὁ ἱερεύς τά λόγια καθαρά κ. ἡ θυσία

ϗ αὐτὰ τὰ ῥήματα ἀνειπὼν εἶτα προσθεὶς ϗ εὔχεται ϗ ἱκετεύ-
ει (ἐ)τὰς θείας ἐκείνας φωνὰς τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ τοῦ
σωτῆρος ἐφαρμόσας ϗ ἐπὶ τῶν προκειμένων δώρων[1] ϗ δεξά-
μενα[2] τὸ πανάγιον αὐτοῦ ϗ παντοδύναμον πνεῦμα μετα-
βληθῆναι τὸν μὲν ἄρτον εἰς αὐτὸ τὸ τίμιον ϗ ἅγιον αὐτοῦ σῶ-
μα, τὸν δὲ οἶνον εἰς αὐτὸ τὸ ἄχραντον αὐτοῦ ϗ ἅγιον αἷμα·
τούτων δὲ ἠγγελμένων ϗ εἰρημένων τὸ πᾶν τῆς ἱερουργίας ἤνυ-
σται ϗ τετέλεσται, ϗ τὰ δῶρα ἡγιάσθη ϗ ἡ θυσία ἀπηρτίσθη,
ϗ τὸ μέγα θῦμα ϗ ἱερεῖον τὸ ὑπὲρ τοῦ κόσμου σφαγὲν ἐπὶ τῆς
ἱερᾶς τραπέζης ὁρᾶται κείμενον· ὁ γὰρ ἄρτος τοῦ κυριακοῦ σώ-
ματος οὐκέτι τύπος οὐδὲ δῶρον εἰκόνα φέρον τοῦ ἀληθινοῦ δώ-
ρου, οὐδὲ γραφήν τινα νομίζειν (sic) ἐν(ἑ)αυτῷ τῶν σωτηρίων
παθῶν, ὥσπερ ἐν πίνακι, ἀλλ᾽ αὐτὸ τὸ ἀληθινὸν δῶρον, αὐτὸ
τὸ δεσποτικόν, τὸ πανάγιον σῶμα, τὸ πάντα ἐκεῖνα ἀληθῶς
δεξάμενον τὰ ὀνείδη, τὰς ὕβρεις, τοὺς μώλωπας, τὸ σταυρωθέν,
τὸ σφαγέν, τὸ μαρτυρῆσαν ἐπὶ Ποντίου Πιλάτου τὴν καλὴν ὁμο-
λογίαν, τὸ ῥαπισθέν, τὸ αἰκισθέν, τὸ ἐμπτύσματα ἀνασχόμενον

[1] δῶρον. [2] Ἴσ. ὥστε δεξάμενα.

τό χολῆς γευσάμενον· ὁμοίως καί ὁ οἶνος αὐτό τό αἷμα τό ἐκπηδῆσαν σφαττομένου τοῦ σώματος. τοῦτο τό σῶμα, τοῦτο τό αἷμα τό συστάν ἐκ πνεύματος ἁγίου, τό γεννηθέν ἀπό τῆς μακαρίας παρθένου, τό ταφέν, τό ἀναστάν τῇ τρίτῃ ἡμέρᾳ τό ἀνελθόν εἰς τούς οὐρανούς καί καθεζόμενον ἐκ δεξιῶν τοῦ πατρός." ὁρᾷς ὅπως οὗτος ὁ ἄρτος οὐχ ἕτερόν τί ἐστιν ἐκείνου τοῦ κυριακοῦ σώματος, ἀλλ' ἔστιν ἤδη τοῦτο αὐτό ἐκεῖνο.

## Ἀπορίαι

Ἀλλά πῶς, ἄν τις φαίη, πολλῶν πολλαχοῦ προσφερόντων μία γίνοιτό ποτε ἀπλῶς καί κυρίως ἐν τῷ παντί βίῳ ἡ τοιαύτη θυσία καί οὐ πολλαί. ἢ πῶς ὅλως τά τῷ ὄντι πολλά τῷ ὄντι ἕν εἴη. ἢ πῶς καί μετά τήν θυσίαν ἓν ὄντα φαίνει καί πολλά. καί εἴπερ αὐτό τοῦτο ἐκεῖνο τό κυριακόν ἐστι σῶμα, πῶς ἐκείνου ἐν οὐρανοῖς ἐκ δεξιῶν καθημένου τοῦ θεοῦ καί πατρός, αὐτά ἐν ἡμῖν ἐπί γῆς ἐκτός ἐκείνου εἰσίν. καί πῶς ἐκείνου ἀπαθοῦς μένοντος τά πολλά ταῦτα πάσχει καί τοῖς ὀδοῦσι κατακερματίζονται. καί πῶς τά ἐν διαφόροις καί τόποις

ϗ τόποις ϗ χρόνοις προσφερόμενα ἤτοι τῷ κυριακῷ ἐκείνῳ σώματι, ἢ ἄλλοις ἐν εἴη, εἴτε μία κυρίως ἡ τοιαύτη θυσία ϗ οὐ πολλαί· ταῦτα γάρ πάντα τῷ πάντη ἀδυνάτῳ φαίνεται εἶναι, ἡ
φ. 152α δέ πίστις περί τά δυνατά εἶναι βούλεται, κἄν ὑπέρ φύσιν ϗ τήν ἀνθρωπίνην δύναμιν εἴη.

Λύσις

Πῶς μία ἐν πᾶσιν ἐστίν ἡ θυσία ϗ οὐ πολλαί

Μενοῦνγε μία πάντως ἐστί κυρίως, ὦ Χριστοῦ μαθητά, ἡ τοιαύτη τῶν πολλῶν πολλαχοῦ προσφερομένων θυσία ϗ οὐ πολλαί· μη γάρ εἰδικήν¹ τινα ἕνωσιν ἐννοήσωμεν, ἀλλά πάντως ὑποστατικήν· εἷς γάρ ἐστιν ὁ Χριστός ϗ οὐ πολλοί ϗ μία τούτου ὑπόστασις ἐν δύο φύσεσι γνωριζομένη τε ϗ πιστευομένη θεότητός τε ϗ ἀνθρωπότητος. ϗ διά τοῦτο μία ἡ τούτου θυσία ἐν τῷ παντί αἰῶνι, ϗ οὐ πολλαί· ἄρτοι μέν γάρ ϗ οἶνοι πολλοί ϗ πολλαχοῦ ϗ ὑπό πολλῶν προσφέρονται ἱερουργῶν· ϗ ἡ μεταβολή πολλάκις ϗ πολλά τά μεταβαλλόμενα, ἀλλ' ὁ Χριστός

¹ ἰδικήν Β.

εἰς ἔστι, καὶ τὸ σῶμα εἰς ὃ τὰ πολλὰ μεταβάλλονται[1] καὶ μία ἡ τούτου σφαγὴ καὶ θυσία, καὶ ἅπαξ ἐν τῷ παντὶ αἰῶνι γεγενημένη. τί γὰρ ἐστι, φησί, καὶ ὁ ῥηθεὶς Καβάσιλας, φέρ' εἰπεῖν, ἡ τοῦ προβάτου θυσία; (ὡς πρόβατον γὰρ καὶ ὁ προφήτης φησὶ ἐπὶ σφαγὴν ἤχθη), οὐδὲν ἄλλο, ἀλλ' ἢ ἡ ἀπὸ τοῦ μὴ ἐσφαγμένου ἐπὶ τὸ ἐσφαγμένον μεταβολή. οὐκοῦν κἀν ἐνταῦθα πρὸ μὲν τῆς μεταβολῆς οὔτε σφαγὴ ἐστιν, οὔτε μὴ ἐσφαγμένου εἰς ἐσφαγμένον μεταβολή· μεταβληθέντος δ' ἤδη τοῦ ἄρτου καὶ τοῦ οἴνου εἰς σῶμα καὶ αἷμα Χριστοῦ ἐγένετο ἅμα καὶ ἡ ἀπὸ τοῦ μὴ ἐσφαγμένου εἰς τὸ ἐσφαγμένον μεταβολή. καὶ ἔστι τὸ μὲν μεταβαλλόμενον ἄρτος, τὸ δὲ ἐσφαγμένον σῶμα Χριστοῦ, ἅπαξ ἐν τῷ παντὶ αἰῶνι σφαγέν. φανερὸν δ' ὅτι ἡ μὲν μεταβολὴ ἐστι τοῦ ἄρτου, καὶ διὰ τοῦτο πολλάκις ἡ μεταβολή· διότι πολλὰ καὶ πολλαχοῦ τὰ μεταβαλλόμενα· ἡ δὲ σφαγὴ τοῦ σώματός ἐστι τοῦ Χριστοῦ καὶ ἡ θυσία, καὶ διὰ τοῦτο μία σφαγὴ καὶ

[1] μεταβάλλουσιν.

μία θυσία, ὅτι καὶ ἅπαξ τὸ σφαγὲν καὶ τυθέν, καὶ διὰ τοῦτο φησὶν ὁ πολὺς τὰ θεῖα Συμεών "ὅτι καίτοι πολλῶν πολλαχοῦ καὶ ἐν ταυτῷ προσφερόντων μία ἡ θυσία καὶ οὐ πολλαί· οὐ γὰρ καὶ νῦν σφαγὴ καὶ θυσία ἀλλὰ μεταβολὴ μόνον εἰς τὸ σφαγὲν καὶ τυθέν", ὥσπερ πρὸ τῆς μεταβολῆς μένων ὁ ἄρτος οὐκ ἔστιν ἐσφαγμένος καὶ τεθυμένος, οὕτω μετὰ τὴν μεταβολὴν εὐθὺς κυρίως σῶμα Χριστοῦ πάλαι ποτὲ ἐσφαγμένον καὶ τεθυμένον, νῦν δὲ καὶ εἰς ἀεὶ ἐκ δεξιῶν τοῦ πατρὸς ἱδρυμένον.

## Πῶς τὰ τῷ ὄντι πολλὰ τῷ ὄντι[1] ἓν εἴη

Πῶς δὲ τὰ τῷ ὄντι πολλὰ τῷ ὄντι ἓν εἴη, οὕτως ἂν μάθοις. τὰ πολλὰ οὐκ ἄλλως ἂν εἴη πολλὰ ἐὰν μή τινι διαφορᾷ διαφέρει ἀλλήλων· ὁπόσα δὲ κατὰ μηδὲν διαφέρουσι, ταῦτα εἰ καὶ πολλὰ εἶναι φαίνεται πάντως διά τινα περίστασιν ἐξωτερικὴν εἶναι δοκεῖ πολλά, ἓν ὄντα καθ' ἑαυτά. κἀνταῦθα τοίνυν, εἰ καὶ πολλαὶ δοκοῦσιν εἶναι διοριζόμεναι τοῖς συμβε-

1 τῷ ὄντι· ἀεὶ ὡς μία λέξις μετὰ τοῦ ὑφ' ἕν.

ἐπεὶ ὅσοι καὶ χρόνῳ καὶ τόπῳ αἱ κατὰ μέρος αὗται οὐσίαι, ἀλλὰ φ. 152β καθ' ἑαυτὰς ἀλλήλοις εἰσὶν αἱ αὐταὶ κατὰ μηδὲν διενηνοχῦαι[1] καὶ μία οὐσία πάλιν εἰσὶν αἱ πολλαί· ἐπειδὴ γὰρ ἑκάστη τούτων καὶ πᾶσαι ὁμοῦ εἰς ἓν καὶ τὸ αὐτὸ μεταβάλλουσι (sic) κυριακὸν σῶμα κατὰ μηδὲν αὐτὸ ἑαυτοῦ διαφέρον καὶ ἐστὶν αὐτὸ τοῦτο ἐκεῖνο καὶ οὐδὲν ἕτερον, φανερὸν ὅτι ἀλλήλοις ἕν εἰσι καὶ ταὐτόν. ἐπειδὴ τὰ τῷ αὐτῷ ταὐτὰ καὶ ἀλλήλοις εἰσὶ τὰ αὐτά, καὶ πρότερον ἢ αἱ ἀπὸ τῆς αὐτῆς διαφόραις ὕλαις[2] ἐγγινόμενα τύποι, οὕτως καὶ αὗται εἰ[3] καὶ πολλοὶ φαίνονται εἶναι διὰ τὴν κατὰ τὴν ὕλην καὶ χρόνον ἢ τόπον διαφοράν, ἀλλ' ἐπειδὴ ὥσπερ ἀπὸ τῆς αὐτῆς ἐνεσημάνθησαν καὶ τῆς αὐτῆς σφραγῖδος καὶ πρὸς ἀλλήλους καὶ πρὸς τὸ πρωτότυπον εἰσὶν οἱ αὐτοί. καθ' ἑαυτοὺς οὐκέτι πολλοὶ ἀλλ' εἷς καὶ ὁ αὐτός ἐστι τύπος ἐν πᾶσιν.

Πῶς καὶ μετὰ τὴν θυσίαν ἓν ὄντα καὶ πάλιν εἰσὶ πολλά

Οὕτω κἀνταῦθα, εἰ καὶ μετὰ τὴν θυσίαν καὶ τὴν μεταβολὴν ἓν ὄντα πάλιν φαίνεται εἶναι πολλά, ἀλλὰ κατὰ τὸ αὐτὸ καὶ ἓν

1 διενηνοχυῖαι. 2 διαφόροις ὕλαισιν. 3 οἱ

εἰσὶ πολλά· τοῦτο γὰρ ἁπλῶς τῶν ἀδυνάτων ἐστίν· ἀλλὰ καθ' ὃ μὲν διαφόροις ὑπόκεινται συμβεβηκόσι καὶ τόποις διαφέρουσι καὶ χρόνῳ φαίνονται πάντως εἶναι πολλά, καθ' ὃ δὲ ὑπὸ τῆς αὐτῆς καὶ μιᾶς καὶ ἀπαραλλάκτου σφραγῖδος τε καὶ ἐνεργείας τοῦ παναγίου πνεύματος μορφοῦνται, καὶ εἰς ἓν καὶ τὸ αὐτὸ κατ' οὐσίαν μεταβάλλονται καὶ εἰσὶν ἤδη αὐτὸ τοῦτο τὸ σῶμα καὶ αἷμα Χριστοῦ κατὰ μηδὲν αὐτὸ ἑαυτοῦ διαφέρον, κατὰ τοῦτο τὰ δοκοῦντα ἐκεῖνα εἶναι πολλὰ οὐκέτι εἰσὶ πολλά, ἀλλ' ἁπλῶς καὶ κυρίως ἕν, αὐτὸ τοῦτο ἐκεῖνο τὸ τίμιον σῶμα καὶ αἷμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τὸ ἐκ Παρθένου τεχθὲν καὶ παθὸν καὶ σταυρωθέν, καὶ ταφὲν καὶ ἀναστὰν καὶ ἐν δεξιᾷ καθήμενον τοῦ Θεοῦ καὶ πατρός, ὥς φησι καὶ ὁ θεῖος Νικόλαος ὁ Καβάσιλας.

Πῶς τοῦ δεσποτικοῦ σώματος ἐν οὐρανοῖς ὄντος τὰ ἐκείνῳ αὐτῷ[1] γεγονημένα ἐν ἡμῖν εἰσιν ὧδε.

Διὰ τοῦτο οὐκ τὸ δεσποτικὸν ἐκεῖνο σῶμα κατέρχεται τὸ ἀναληφθὲν ἀφ' ἡμῶν εἰς τοὺς οὐρανοὺς κατὰ τὸν θεῖον Δαμασκη-

[1] ἐκεῖνο αὐτό.

νόν, ἀλλ' ἐκεῖσε μένει ἐκ δεξιῶν καθήμενον τοῦ Θεοῦ καὶ πατρός· οὔτε τά πολλά ταῦτα τά εἰς αὐτό τοῦτο μεταβληθέντα ἐκεῖσε χωροῦσιν, ἀλλά παρ' ἡμῖν μένει κατά τόν ῥηθέντα Νικόλαον τόν Καβάσιλαν καὶ Νικόλαον τόν Μεθώνης, καὶ τοῦτον, ὅν φασιν τό εἶναι τόν Χριστόν μεθ' ἡμῶν ἕως τῆς συντελείας. καὶ εἶναι τό αὐτό καὶ ἕν ἀκήρατον τοῦ δεσπότου σῶμα καὶ ἐν ἡμῖν ἐπί γῆς καὶ ἐν ἀφανεῖ ἐκ δεξιῶν τοῦ πατρός ἱδρυμένον τρόπον, ὅν οἶδεν ὁ αὐτός φασίν. οὐ μήν ἀλλά καὶ ὑποδείγματι τοῦ αἰσθητοῦ ἡλίου τό περί τοῦ νοητοῦ ἡλίου ποιούμενον (sic) ἐπιρρώννυσιν ὁ Καβάσιλας, "καθάπερ, φησί, ἦν[2] πολλά κάτοπτρα τεθείη ὑπό τόν ἥλιον πάντα μέν λάμπουσι καὶ ἀκτῖνας ἀφιᾶσι, καὶ δόξεις[3] πολλούς ἡλίους ὁρᾶν· εἷς δέ ἐστιν ἀληθῶς ὁ ἐν πᾶσιν ἀστράπτων ἥλιος, οὕτω καὶ ὁ μόνος ἅγιος εἰς τούς πιστούς χεόμενος ἐν πολλαῖς μέν φαίνεται ψυχαῖς καὶ πολλούς δείκνυσιν ἁγίους, ἔστι δέ εἷς καὶ μόνος ἅγιος οὗτος ἤτοι εἰς δόξαν Θεοῦ πατρός". ἐπειδή οὐ μόνον ἅγιος δικαιοῦ-

1 τοῦτο οὐ ἡ φωνή, καὶ εἰσί τινες φᾶσιν ὅν, 2 ἐάν. 3 δόξεις.

της· ἀλλὰ καὶ λόγος ἤκουσεν ὁ υἱὸς καὶ λόγος τοῦ θεοῦ καὶ θεός, φέρε σοι καὶ ἀπὸ τοῦ παρ' ἡμῖν λόγου σκιαγραφήσωμεν τοῦ μυστηρίου τὴν δύναμιν ἀπὸ τοῦ μακαρίου Σαμωνᾶ καὶ τοῦτο λαβόντες; εἰ καὶ περιεργότερον, ἀναπτύσσωμεν πρὸς τρανοτέραν τοῦ φ.153α μυστηρίου φανέρωσιν· ὃν γὰρ τρόπον καίτοι πολλῶν ὄντων τῶν ἀκροατῶν ὅμως ὁ αὐτὸς καὶ εἷς πᾶσιν ἐνηχεῖται[1] λόγος καὶ μερίζεται ἀμερίστως καὶ μεταβαίνει ἀμεταβάτως, ὅτε καὶ εἷς ἐστιν καθ' ἑαυτὸν καὶ τῇ φύσει ἀφ' ἑνός τε προερχόμενος στόματος ἕνα τε καὶ τὸν αὐτὸν ἔχων νοῦν ἐν ταυτῷ δὲ συμπληθύνεσθαι φαίνεται καὶ τῷ πλήθει τῶν ἀκροατῶν καὶ διαιρεῖται ἀδιαιρέτως καὶ ἐν τῷ λέγοντι δὲ ἔστιν ὁ αὐτὸς ἑνικῶς καὶ ἐν τοῖς ἀκούουσιν ἐν ταυτῷ ὑπάρχει πληθυντικῶς· καὶ ὅλος ἐστὶν ὁ αὐτὸς πραγματικῶς ἐν τῷ λέγοντι, καὶ ὅλος ἐστὶν ὁ αὐτὸς καὶ εἷς πραγματικῶς ἐν ἑκάστῳ τῶν ἀκουόντων, καὶ πάντες οἱ ἐν ἑκάστῳ τῶν ἀκροατῶν ὄντες λόγοι ἐν τῷ λέγοντι καὶ ἀλλήλοις εἰσὶν οἱ αὐτοί, καὶ ἔστιν ἁπλῶς ὁ λόγος εἷς καὶ ὁ αὐτὸς ἐν πᾶσιν ἔν τε τῷ λέγοντι καὶ τοῖς ἀκούουσιν, τοῦτο μόνον διαφέρων αὐτὸς ἑαυτοῦ

[1] ἐνηχεῖ B

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὅτι πρότερον ἀμεθέκτως ἐν τῷ λέγοντι μόνον ὑπάρχων καὶ ἀμετάβατος ὕστερον καὶ ἄλλοις ἐγένετο μεθεκτὸς καὶ ἀνεμποδίστως ὅμως, ὁ αὐτὸς καὶ ἀμετάβατος. αὐτὰ ταῦτα μοι νόει καὶ ἐπὶ τοῦ προκειμένου μυστηρίου τῆς εὐχαριστίας· ὥσπερ γὰρ ἀπὸ τοῦ ἀρχετύπου ἡλίου ἡ ἔμφασις τῶν δοκούντων ποσῶν ἐν τοῖς κατόπτροις γίνεται ἡλίων, ἅτινα κάτοπτρα καὶ ἡλιοειδῆ διὰ τῶν τοιούτων πραγματικῶν ἐμφάσεων ἀπεργάζεται καὶ ἀπὸ τοῦ ἀρχετύπου ἐν τῷ διδάσκοντι λόγου ἡ τούτου ἀνεμποδίστως μετάβασις καὶ διάδοσις ἐγγίνεται τοῖς ἀκροαταῖς καὶ τούτους πραγματικῶς ὥσπερ τῆς αὐτῆς ποιεῖται διδασκαλίας καὶ γνώσεως οὕτως ἔχει καὶ ἐνταῦθα· ἀπὸ γὰρ τοῦ ἀρχετύπου παναχράντου καὶ τεθεωμένου ἐκείνου σώματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ νοητοῦ ἡλίου καὶ λόγου, τῆς ἀπαραλλάκτου ἐκείνης καὶ μὴ κενουμένης εἰκόνος καὶ σφραγῖδος, ἡ τοιαύτη ἀπαράλλακτος καὶ ὁμοιοποιὸς μόρφωσίς τε καὶ τύπωσις ἐγγίνεται ταῖς κατὰ μέρος ταύταις θυσίαις μεταβάλλουσα καὶ

καινίζουσα τὰ πολλὰ ταῦτα διὰ τῆς ἐνεργείας τοῦ ἁγίου πνεύματος τῷ ἀρχετύπῳ Χριστῷ καὶ ἑνοῦσα ἀχωρίστως τε καὶ τῷ ἀρχετύπῳ διὰ τῆς μεταλήψεως τοῦ φρικτοῦ τούτου μυστηρίου τοὺς δυναμένους ἀξίως τὴν τοιαύτην θεουργικὴν ὑποδέξασθαι μόρφωσιν. ἐπειδὴ περ αὐτός ἐστιν ὁ ἱερουργῶν καὶ ἱερουργούμενος, ὡς εἴρηται, διὰ τῆς ἐνεργείας τοῦ ἁγίου πνεύματος· ὥσπερ γάρ φησι καὶ ὁ θεῖος Δαμασκηνός "ὅσα ἐποίησεν ὁ θεὸς τῇ τοῦ ἁγίου πνεύματος ἐνεργείᾳ ἐποίησεν, οὕτω καὶ νῦν ἡ τοῦ πνεύ-

22.23 ματος ἐνέργεια τὰ ὑπὲρ φύσιν ἐργάζεται, ἃ οὐ δύναται χωρῆσαι εἰ μὴ μόνη ἡ πίστις." εἰ δὲ ἐπὶ τῶν ἐντεῦθεν φυσικῶν τε καὶ σωματικῶν ὑποδειγμάτων ὁμολογουμένως εἷς ἐπὶ πᾶσιν ἐστὶν

" ὁ ἥλιος, καὶ εἷς ἐν πᾶσιν ὁ λόγος, καὶ οὐκ ἔστιν ἀντειπεῖν, πόσῳ μᾶλλον ἐν τοῖς ὑπὲρ φύσιν, ἐν οἷς ὁ θεὸς αὐτὸς ἐνεργεῖ καὶ πάντα ὅσα θέλει ποιεῖ καὶ οὐκ ἀδυνατήσει παρ' αὐτῷ πᾶν ῥῆμα τὸ τοιοῦτον πιστευτέον καὶ εἶναι καὶ γίνεσθαι κατὰ τὴν ἀψευδῆ τοῦ σωτῆρος ἐπαγγελίαν εἰπόντος· ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. ἐπει-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δὴ γὰρ ὅπου πραγματικῶς ὑπάρχει τὸ σῶμα τοῦ Χριστοῦ, ἐκεῖ
πάντως καὶ ὁ Χριστὸς ὑπάρχει πραγματικῶς, εἰ μὴ μᾶλλον αὐτός
εἶναι ἐκτὸς ἑαυτοῦ, ἵνα μὴ εἴπω, ὅλως μὴ εἶναι. ἔστι δὲ αὐτὸ τοῦ-
το τὸ σῶμα ἐν ἡμῖν ὅσοι γε ἱερουργούμενόν τε καὶ μεταλαμβα-
φ. 133β νόμενον· "τοῦτο γάρ, φησίν, ἐστὶ τὸ σῶμά μου τὸ ὑπὲρ ὑμῶν κλώμενον
εἰς ἄφεσιν ἁμαρτιῶν". φανερὸν ὅτι πραγματικῶς διάγει ἐν ἡμῖν
αὐτοσώματος ἐστὶν ἐν ἡμῖν ὁ Χριστός, ὁ καὶ αὐτὸς ἐπηγγείλατο "ἐγὼ καὶ ἰδοὺ
μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας". ἔστι δὲ ὁ αὐτὸς
οὗτος Χριστὸς πραγματικῶς καὶ ἐν οὐρανοῖς ἀναληφθεὶς ἀφ' ἡμῶν ἐκ δεξιῶν τοῦ
πατρὸς ἱδρυμένος. φανερὸν ἐκ τούτων ἐστὶ τοῖς παιδεύειν θέλουσι
καὶ θεὸν ἀληθινὸν τὸν Χριστὸν ἐπαγγελλομένοις καὶ ἀψευδῆ τῆς ἀληθεί-
ας κήρυκα καὶ αὐτοαλήθειαν ὄντα, ὅτι ὁ αὐτὸς οὐ μόνον κατὰ
τὴν ἀπερίγραπτον αὐτοῦ θεότητα ἀλλὰ καὶ κατὰ τὴν παναγίαν
καὶ τεθεωμένην αὐτοῦ ἀνθρωπότητα πραγματικῶς ἀληθῶς καὶ κυ-
ρίως καὶ ἐν ἡμῖν αὐτοῖς ἐστι καὶ ἐκ δεξιῶν τοῦ πατρὸς ὁ αὐτὸς ἀνεκφράσ-
τως ἱδρυμένος, ὅπερ ἔδει δεῖξαι, τρόπον ὃν οἶδε (φησὶν) ὁ αὐ-
τός. διὰ τοῦτο καὶ τὰ οὐράνια τάγματα παραγίνεται ἀοράτως
Χρυσ. Λειτουργ. καὶ αὐτὸ δὴ τὸ πανάγιον πνεῦμα συλλειτουργοῦντα τῷ μυστηρίῳ
καὶ ἱερουργοῦντα· "τὸ αὐτὸ γάρ, φησιν, ἅγιον πνεῦμα συλλ-

τουργῆσαι ὑμῖν καὶ ἡμῖν ὡς τελειωτικὸν πάντως τοῦ μυστηρίου, καὶ διάποτα, φησί, κύριε ὁ θεὸς ἡμῶν ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα καὶ στρατιὰς ἀγγέλων καὶ ἀρχαγγέλων εἰς λειτουργίαν τῆς σῆς δόξης, ποίησον σὺν τῇ εἰσόδῳ ἡμῶν εἴσοδον ἁγίων ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα" καὶ ἐκ τοῦ Χερουβικοῦ ὕμνου ἐν τῇ μεγάλῃ ταύτῃ εἰσόδῳ "ὡς τὸν βασιλέα, φησί, τῶν ὅλων ὑποδεξόμενοι ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν". καὶ ταῦτα μὲν πρὸ τῆς τελειώσεως τοῦ μυστηρίου, μετὰ δὲ τὴν τελείωσιν "εἰπόντος, φησί, τοῦ διακόνου: μέλισον δέσποτα τὸν ἅγιον ἄρτον ὁ ἱερεὺς μελίζων αὐτὸν εἰς τέσσαρα μετὰ προσοχῆς καὶ εὐλαβείας λέγει: μελίζεται καὶ διαμερίζεται ὁ ἀμνὸς τοῦ θεοῦ ὁ υἱὸς[1] τοῦ πατρός, ὁ μελιζόμενος καὶ μὴ διαιρούμενος, ὁ πάντοτε ἐσθιόμενος καὶ μηδέποτε δαπανώμενος, ἀλλὰ τοὺς μετέχοντας ἁγιάζων[2]" ὁρᾷς τίς ἐστιν ὁ ἤδη ἅγιος ἄρτος, ὅτι ὁ αὐτὸς οὗτός ἐστιν, περὶ οὗ καὶ ὁ προφήτης ἔλεγεν Ἠσαΐας "ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη καὶ ὡς ἀμνὸς ἐναντί-

1 ὑιός. 2 ἁγιάζει.

Ιω. α' 29 κ. 34
Ματθ. 15 16
Ματθ. ιδ' 26

ον τοῦ κρείττονος". κ. μετ' ἐκεῖνον ὁ μείζων Ἰωάννου τῶν προφητῶν ὑπ' αὐτοῦ μαρτυρηθεὶς ἔλεγεν δεικνὺς αὐτὸν τοῖς λαοῖς. "ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου". κ. φησιν: "κἀγὼ ἑώρακα κ. μεμαρτύρηκα, ὅτι οὗτος ἐστιν ὁ υἱὸς τοῦ θεοῦ." κ. ὁ Πέτρος ἐρωτῶντος αὐτοῦ "τίνα με λέγουσιν εἶναι οἱ ἄνθρωποι, κ. ὑμεῖς δὲ τί[να] με λέγετε" ἀποκριθεὶς εἶπεν: "σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος". εἰ δ' ὁ αὐτὸς οὗτος ἐστιν ὁ κ. ἐν οὐρανοῖς καθήμενος ἐκ δεξιῶν τοῦ πατρός, δηλονότι ὁ αὐτὸς οὗτος κ. οὐχ ἕτερος κ. ἐν ἡμῖν ἐστιν ἐπὶ γῆς κ. ἐν οὐρανοῖς ἐκ δεξιῶν τοῦ πατρός, τρόπον ὃν οἶδε μόνος αὐτός· "τὰ γὰρ παρ' ἀνθρώποις, φησὶν ὁ αὐτός, ἀδύνατα, δυνατά ἐστι παρὰ τῷ θεῷ". οὐκοῦν κ. τοῦτο δυνατόν ἐστιν ἂν τεθῇ [1] παρ' αὐτῷ. κ. τε τοῖς τύποις κ. τοῖς εἰκόσι τοῦ κυρίου Ἰησοῦ σχετικὴν ἀπονέμομεν τὴν προσκύνησιν, αὐτῷ δὲ τούτῳ τῷ ἀρχετύπῳ Χριστῷ λατρευομένῳ ὡς θεῷ κ. σωτῆρι. λατρεύουσι δὲ τῷ δεσποτικῷ σώματι ὡς βασιλεῖ κ. θεῷ σὺν ἡμῖν κ. αἱ οὐράνιαι δυνάμεις. "Νῦν γάρ, φησίν, αἱ δυνάμεις τῶν οὐρανῶν σὺν ἡμῖν ἀοράτως λατρεύουσιν. ἰδοὺ γὰρ εἰσπορεύεται ὁ βασιλεὺς -

[1] τεθῷ.

φ. 154α της δόξης· ἰδοὺ θυσία μυστικὴ τετελειωμένη δορυφορεῖται". φανερὸν ὅτι, ὁ ἅγιος οὗτος ἄρτος οὐκ ἔστιν εἰκὼν ἢ τύπος Χριστοῦ ἀλλ' αὐτὸς οὗτος ὁ εἰκονιζόμενος ϗ τυπούμενος. ὁ δὲ θεῖος Ἰάκωβος: "σιγησάτω, φησί, πᾶσα σὰρξ βροτεία ϗ στήτω μετὰ φόβου ϗ τρόμου ϗ μηδὲν γήινον ἐν ἑαυτῇ λογιζέσθω· ὁ γὰρ βασιλεὺς τῶν βασιλευόντων ϗ κύριος τῶν κυριευόντων, Χριστὸς ὁ θεὸς ἡμῶν προσέρχεται σφαγιασθῆναι ϗ δοθῆναι εἰς βρῶσιν τοῖς πιστοῖς προηγοῦνται δὲ τούτου οἱ χοροὶ τῶν ἀγγέλων μετὰ πάσης ἀρχῆς ϗ ἐξουσίας τὰ πολυόμματα Χερουβὶμ ϗ τὰ ἐξαπτέρυγα[1] Σεραφὶμ τὰς ὄψεις καλύπτοντα ϗ βοῶντα τὸν ὕμνον· ἀλληλούϊα". Μετὰ δὲ τὴν τελείωσιν τοῦ μυστηρίου, πρὸς τοῖς ἄλλοις ϗ τοιαύτην πρὸς τὸν προκείμενον ἄρτον, ὡς αὐτὸν λοιπὸν ὄντα τοῦτον τὸν θεάνθρωπον Ἰησοῦν ποιεῖται τὴν προσευχήν· "Κύριε, ὁ θεὸς ἡμῶν, ὁ οὐράνιος ἄρτος, ἡ ζωὴ τοῦ παντός, ἥμαρτον εἰς τὸν οὐρανὸν ϗ ἐνώπιόν σου, ϗ οὐκ εἰμὶ ἄξιος μεταλαβεῖν τῶν ἀχράντων σου μυστηρίων, ἀλλ' ὡς εὔσπλαγχνος θεὸς ἀξίωσόν με τῇ χάριτί σου ἀκατακρίτως μετασχεῖν τοῦ ἁγίου σώματος ϗ τοῦ τιμίου αἵματος εἰς ἄφεσιν ἁμαρτιῶν ϗ ζωὴν αἰώνιον". Ἰάκωβος οὗτος ἐκεῖνος ὁ ἀδελ-

1. ἐξαπτέρυγα.

Λουκ. α΄2. φύσεως ἀπ' ἀρχῆς χρηματίσας αὐτόπτης καὶ ὑπηρέτης καὶ θεα-
τὴς τῶν τοιούτων μάλιστα καὶ ὑπερφυῶν τοῦ Θεοῦ μυστηρίων,
οὗτινος τῇ παραινέσει καὶ κρίσει καὶ οἱ κορυφαῖοι συνεπαρκοῦ-
σι τῶν ἀποστόλων. διό φησιν· ἐγὼ κρίνω μὴ παρενοχλεῖν τοῖς
Πραξ. ιε΄19. ἀπὸ τῶν ἐθνῶν ἐπιστρέφουσιν ἐπὶ τὸν Θεόν, καὶ ἔδοξε καὶ ἤρεσε τοῖς ἀπο-
στόλοις καὶ τοῖς πρεσβυτέροις σὺν ὅλῃ τῇ ἐκκλησίᾳ, ἥν τινα κρίσι(ν)
καὶ τῷ ἁγίῳ ἀνατίθενται πνεύματι. ἔδοξε γάρ φασι τῷ ἁγίῳ πνεύματι καὶ ἡμῖν
μηδὲν πλέον ἐπιτίθεσθαι βάρος ὑμῖν, πλὴν τῶν ἐπάναγκες τούτων καὶ
τὰ ἑξῆς. ὅτι δὲ τὰ πολλὰ ταῦτα τὰ ἐν ἡμῖν ἐπὶ γῆς ἱερουργούμενα
αὐτὸ τοῦτο ἐκεῖνο τὸ κυριακόν ἐστι σῶμα τὸ ἐκ δεξιῶν τοῦ πατρὸς
ἱδρυμένον μετ' ἐκεῖνο γεγενημένα καὶ ὄντα δῆλοί ἐστι καὶ ἀπ' αὐτοῦ
τοῦ σκοποῦ τοῦ Θεοῦ· ἐπειδὴ γάρ, ὡς ἔλεγετο, ὁ ἀνωτέρω τῷ ἱερῷ
Γρηγορίῳ, τούτου χάριν ὁ φανερωθεὶς Θεὸς κατέμιξεν ἑαυτὸν τῇ
ἐπικήρῳ φύσει, ἵνα τῇ ἐκ Θεότητος κοινωνίᾳ συναποθεωθῇ τὸ
ἀνθρώπινον. τοῦτο δὲ ἄλλον οὐκ ἀπεδέχετο τρόπον, ἢ εἰ τὸ

ὁ ταῦτα οὕτως οἰκονομήσας καὶ τελεῖσθαι κελεύσας Θεός, ἐὰν μὴ διὰ τῆς μεταλήψεως καὶ κοινωνίας τοῦ παναχράντου αὐτοῦ σώματός τε καὶ αἵματος, ὡς ἐλέγετο καὶ ἀνωτέρω κατὰ τὸν αὐτὸν διδάσκαλον ἐν τῷ αὐτῷ· ἀμέσως μὲν γὰρ ἐκεῖνον καὶ αὐτοπροσώπως ἐν μεσιτείᾳ γενέσθαι τοῦ ἀρχετύπου κυριακοῦ σώματος τῶν πάντῃ ἦν ἀδύνατον διὰ πολλά· ἐκεῖνο μὲν γὰρ ἤδη καὶ ἐν οὐρανοῖς ἐστι καὶ ἄφθαρτον ἤδη καὶ ἀπαθές ἐστι καὶ ἁπλῶς καὶ ἀπολύτως ἕν ἐστιν, ἡμεῖς δὲ ἐπὶ γῆς καὶ θνητοὶ καὶ ἁπλῶς καὶ ἀπολύτως πολλοί· ἀδύνατον δὲ πανταχῶς τι τῶν περιγραφομένων καὶ τῶν περιγραπτῶν, ὁποῖον καὶ τὸ κυριακὸν σῶμά ἐστιν, ἅμα κατὰ ταὐτὸν ἐν διαφόροις εἶναι τόποις, μήτοιγε τῶν σωματικῶν τούτων καὶ τῶν ἐνύλων, ἀλλ' οὐδέ τι τῶν πάνυ καθαρῶν καὶ ἀΰλων· τοῦτο γὰρ μόνου ἴδιόν ἐστι τοῦ ὑπερουσίου καὶ ἀπεριγράπτου Θεοῦ. ἄλλως τε κἂν ἦν μεταληπτὸν ἐκεῖνο τὸ πανακήρατον σῶμα, δυοῖν θάτερον ἤτοι ὁλόκληρον μετελαμβάνετο, ἢ κατὰ μέρος· ἀλλ' εἰ μὲν ὁλόκληρον

φ. 154β ὑφ' ἑνὸς καὶ μόνου ἐν τῷ παντὶ βίῳ μετελαμβάνετο, ἓν ὂν καὶ αὐτό, εἰ δ' κατὰ μέρος πάντῃ ἄτοπον· πρῶτον μὲν ὅτι ὁ Χριστὸς εἷς ἐστιν, οὐ πολλοί, καὶ ἀδύνατον ἕνα καὶ τὸν αὐτὸν ἄνθρωπον διαιρεθῆναι αὐτὸν ἑαυτοῦ ἔπειτα εἰς πόσα μέρη διαιρούμενος διαρκέσειεν ἂν τοῖς ἀνὰ πᾶσαν

τῇ οἰκουμένῃ Χριστιανοῖς διὰ παντὸς τοῦ βίου ἐν τοιαύταις ἐτῶν χιλιάσιν, ἄλλως τε καὶ ἐκ μέσου καταναλωθεὶς ἐγίνετο ἄν· καὶ ἐπειδὴ τὸ ἀνθρώπινον ὁ Σωτὴρ τοῦ κόσμου Χριστὸς καὶ ἀδύνατον τὸ ἅπαξ ἀπαθανατισθὲν ἔν τινι μοίρᾳ γενέσθαι πάθους, παρὰ ταῦτα καὶ εἴπερ ἦν ὅλως τοῦτο δυνατόν, αὐτὸς οὗτος ἐπὶ γῆς ἔτι διατρίβων μετεδίδου ἂν εἰς βρῶσιν ἑαυτὸν τοῖς πιστοῖς ἤτοι πρὸ τοῦ πάθους ἢ μετὰ τὸ πάθος, ἢ ὅλον ἢ κατὰ μέρος· ἀλλ᾽ ἐπειδὴ τοῦτο καὶ πάντη ἦν ἀδύνατον διὰ τὰς ῥηθείσας αἰτίας· ἐπάγγελμα δὲ ἦν ἡμᾶς, ὡς εἴρηται, διὰ τῆς μεταλήψεως τοῦ παναγίου αὐτοῦ σώματός τε καὶ αἵματος συναποθεωθῆναι, εἰ γίνεται; ἐμηχανήσατο ὁ τὰ πάντα σοφὸς θεός, ὃν εἴρηται πολλάκις τρόπον, ἑαυτὸν τοῖς πιστοῖς μεταδοῦναι, καὶ μετόχους τῆς αὐτοῦ θεότητος καὶ κοινωνοὺς τούτου καὶ τῆς θείας δόξης ποιῆσαι· διὰ τοῦτο καὶ τὸ πολλοστημόριον καὶ τὸ ἐλάχιστον μέρος τοῦ κυριακοῦ σώματος ὁλόκληρον καὶ τέλειόν ἐστι σῶμα Χριστοῦ, ἵνα πάντες οἱ ἐν αὐτῷ συνηδόμενοι πιστοὶ κἂν μύριοι ὦσιν ἐκ τοῦ αὐτοῦ καὶ ἑνὸς ἄρτου μεταλαμβάνοντες, ὅλον ἕκαστος τὸ σῶμα τοῦ κυρίου μεταλάβοι ἀδιαίρετον ὂν καὶ ἀμέριστον καθ᾽ αὐτό, ὅπερ καὶ διὰ τῆς κατοπτρικῆς ἐμφάσεως

συνίστησιν ὁ μακάριος Σαμωνᾶς ἀρχιεπίσκοπος Γάζης ἐν οἷς καὶ αὐτὸς πρός τινα διαλεγόμενος Σαρακηνὸν Ἀχμὲδ λεγόμενον ἀποδεικνύουσι τὸν ὑπὸ τοῦ ἱερέως ἱερουργούμενον ἄρτον καὶ οἶνον σῶμα καὶ ἀληθινὸν καὶ ὁλόκληρον εἶναι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν. δεῖξον, φησί, κάτοπτρόν τις ἐσχηκὼς προσώποις καὶ εἰς πολλὰ κλάσματα κατέκλασεν· ἐν ἑκάστῳ δ' ὅμως κλάσματι τὴν σκιὰν σώαν τις ὄψεται· οὕτω νοῆσαι ἄν τις καὶ ἐκ ταύτης τῆς σκιᾶς τὴν τοῦ Χριστοῦ σάρκα εἶναι σώαν καὶ ὁλόκληρον ἐν ἑκάστῳ κλάσματι καθ' ὥραν καὶ ὁσάκις καὶ πανταχοῦ κλωμένου, ὃ καὶ τῷ προτεθέντι τοῦ λόγου ὑποδείγματι ἐπιρρώννυσιν.

Ποῖα τὰ δεξιὰ μέρη τοῦ ἁγίου ἄρτου.

Ἐπειδὴ λέγονται καὶ οἱ τὰ δεξιὰ καὶ ἀριστερὰ μέρη ἐλάττοντες τοῦ κυριακοῦ σώματος ἐν τῇ θέσει καὶ τῷ σχήματι τῶν φαινομένων τοῦ ἄρτου συμβεβηκότων. τί γὰρ ἂν φαῖεν καὶ περὶ τῶν τοιούτων ἰσοχλωσημερίων τοῦ ~~[illegible]~~ ἄρτου κλασμάτων, ποῖα ἑκάστου μέρους καὶ τοῦ ἐλαχίστου λεγέτωσαν εἶναι τὰ δεξιὰ

ἢ τὰ ἀριστερά. οἱ δ' ἐπὶ τούτων οὐκ ἔχουσιν ἀπὸ τῆς θέσεως
ἀποφαίνεσθαι καθ' αὑτὸ τὸ δεξιὸν ἢ ἀριστερὸν μηδὲ τὰ ἐπ' ἐκεί-
νου τοῦ τετραγώνου ἄρτου καθ' αὑτὸ τοῦτο σημειώσωσαν. οὐ-
δενὸς γὰρ ἔχεται λόγου τὸ τόνδε μὲν τὸν ἄρτον ἔχειν δεξιὰ ἢ
ἀριστερά, τόνδε δὲ μὴ ἔχειν ἐξαίρετον καὶ αὐτὸν ὄντα ἄρτον
⟨ἔχον⟩ δεξιὰ ἢ ἀριστερὰ κατὰ πάντα καὶ τέλειον. ἀλλ' ἐπειδὴ
τὸ δεξιὸν καὶ ἀριστερὸν τῇ μορφῇ μάλιστα καὶ τῷ εἴδει ἀποσυ-
μπληροῦται τοῦ ἀνθρώπου, καὶ τούτου ἴδια καὶ καθ' αὑτὸ τὰ μὲν
δεξιὰ λέγεται μέρη τὰ δὲ ἀριστερά, ὅθεν λοιπὸν καὶ ἐπὶ τῶν ἄλ-
φ.155a λων κατηγορεῖται καὶ λέγεται τὸ δεξιὸν ἢ ἀριστερὸν τῇ πρὸς
τὸν ἄνθρωπον σχέσει τε καὶ ἀναφορᾷ. ὅθεν καὶ τὸν κίονα, φέρ' εἰ-
πεῖν, δεξιὸν εἶναι λέγομεν, ὅτι ἐκ δεξιῶν ἵσταται τοῦ Σω-
κράτους, ἀριστερὸν δ' αὖ, ὅταν ἐξ ἀριστερῶν ἵσταται τοῦ-
του, καθ' ἑαυτὸν οὐδέτερον ὄντα. ὅταν μὲν λέγῃ· "τὸν μὲν ἅ-
γιον δίσκον τιθεὶς ἐν τῷ μέρει τῷ ἀριστερῷ, τὸ δὲ ποτήριον
ἐν τῷ δεξιῷ", τῷ μέρει τῷ ἀριστερῷ λέγει τοῦ ἱερέως, καὶ τῷ
μέρει τῷ δεξιῷ τοῦ ἱερέως. οὐδέτερον γὰρ τούτων οὔτε δεξι-
ὸν ἔσχηκε καθ' ἑαυτὸ οὔτε ἀριστερόν, ἀλλ' ἢ σχέσει τῇ πρὸς

τὸν ἱερέα, καθ' ἑαυτὸν ἔχοντα δεξιόν τε καὶ ἀριστερόν. ἐν οἷς δὲ φησι· "καὶ ἐπήγνυσι τὴν λόγχην ἐν τῷ δεξιῷ μέρει τῆς σφραγῖδος, τοῦτο ἀριστερὸν νοεῖται μέρος τοῦ ἱερέως, δεξιὸν ὂν μέρος τῆς σφραγῖδος, ἥτις λοιπὸν ἀντὶ τοῦ κυριακοῦ σώματος δυνάμει ἐκλαμβανομένη κατὰ τὴν πρὸς ἐκεῖνο ἀναφορὰν ἔσχηκε καθ' ἑαυτὴν ἰδίᾳ δεξιόν τε καὶ ἀριστερόν, καὶ ἐπειδὴ τῶν ἀντιπροσωπευόντων τὰ μέρη ἀντίθετα ἔχει πρὸς ἄλληλα, ἀντιπροσωπεύει δὲ τὸ κυριακὸν σῶμα πρὸς τὸν ἱερέα, δῆλον ὅτι καὶ τὰ μέρη τῆς σφραγῖδος ἀντιθέτως ἔχει πρὸς τὰ μέρη τοῦ ἱερέως, ὥστε τὸ δεξιὸν μέρος τῆς σφραγῖδος ἐξ ἀριστερῶν ἔσται τοῦ ἱερέως. ὥσπερ ἐξ ἐναντίας τὸ ἀριστερὸν τῆς σφραγῖδος μέρος ἐκ δεξιῶν ἔσται τοῦ ἱερέως. ἐν οἷς δέ, φησίν "ἐμβαλὼν τὴν ἁγίαν λόγχην ἐκ πλαγίου τοῦ δεξιοῦ μέρους τῆς προσφορᾶς ἐπαίρει τὸν ἅγιον ἄρτον", τὸ ἐκ δεξιῶν τοῦ ἱερέως δηλοῖ· προσφορᾶς γὰρ ἐστιν, ἥτις καθ' ἑαυτὴν ἀδιαφοροῦσα, τὸ δεξιὸν μέρος παρὰ τὸ δεξιὸν τοῦ ἱερέως λαμβάνει. πάλιν δὲ ἐν οἷς φησὶν "καὶ θεὶς αὐτὸν ὕπτιον ἐν τῷ ἁγίῳ δίσκῳ" οὐ προσωπικὴν ὑπτίασιν λέγει, ἀλλὰ τὴν ἀντίστροφον τούτου θέσιν, ἥτις ἀντίστρο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φοις θέσις τό ωρηνίς τοῦ ἁγίου ἄρτου δηλοῖ, ὅθεν κ(αὶ) τὴν φρά-
σιν ὑποδέχεται· εἰπόντος γάρ τοῦ διακόνου: "θῦσον, δέσπο-
τα, ὁ ἱερεύς θύει αὐτόν σταυροειδῶς ἐπιλέγων: θύεται ὁ ἀ-
μνός τοῦ θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου κ(αὶ) τὰ ἑξῆς"
δῆλον γάρ ὅτι κατά νώτου κ(αὶ) ἐκ τῶν ὄπισθεν ὁ κύριος ἡμῶν
Ἰησοῦς Χριστὸς ἐπί τοῦ σταυροῦ ἀνηρτήθη. διό κ(αὶ) τούτου λ-
εχθέντος εἰς τὴν σταύρωσιν ἤδη κ(αὶ) τόν θάνατον τοῦ Σωτῆρος
δηλοῦντος, στρέφει λοιπόν κ(αὶ) μεταφέρει τό ἕτερον μέρος ἐπά-
νω τό ἔχον τόν σταυρόν, ὅπερ τό ἔμπροσθεν ἐστι τούτου, κ(αὶ) οὕ-
τω νύττει τοῦτον ἐν τῷ δεξιῷ μέρει, ὅπερ ἐξ ἀριστερῶν ἐ-
στι τοῖς ἱερεῦσι ἐπιλέγων: "κ(αὶ) εἷς τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ
τὴν πλευράν ἔνυξεν," ἐπεί κ(αὶ) ὁ στρατιώτης ἐκ τῶν ἔμπροσθεν
πάντως ἐσταυρωμένον κ(αὶ) τεθνηκότα βλέπων τόν κύριον ἔνυξεν
φ.155β ἐπί τοίτοις αὐτοῦ τὴν πλευράν. κ(αὶ) ὅταν δέ λέγῃ: " κ(αὶ) αἴρων μερίδα
μετά τῆς ἁγίας λόγχης τίθησιν ἐκ ἀριστερῶν τοῦ ἁγίου ἄρτου εἰς
τιμήν κ(αὶ) μνήμην τῆς ὑπερενδόξου θεοτόκου", ὡς ἔν τισιν ἀρ-
χαιοτέροις ἐντυγχάνομεν ἀντιγράφοις. τό ἐξ ἀριστερῶν τοῖς ἱε-
ρεῦσι μέρος τοῦ ἄρτου δηλοῖ ὅπερ τό δεξιόν ἐστι τούτου.

διὸ καὶ λέγει· «παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου» κτλ. καὶ ὁ γὰρ ἄρτος καθ' ἑαυτὸν ἀφαιρουμένων τὸ ἀριστερὸν τοῦ ἱερέως μέρος λαμβάνει, ὅπερ δεξιόν ἐστι μέρος τοῦ ἄρτου, καθάπερ καὶ περὶ τῆς προσφορᾶς ἐλέγετο ἀνωτέρω, ἐπεὶ δὲ οὐχ ἁπλῶς ἐστιν ἄρτος, ἀλλ' ἤδη ἀφωσιωμένος καὶ ἀνατεθειμένος θεῷ καὶ δυνάμει τὸ κυριακὸν σῶμα ὅσον οὔπω ἐκεῖνο ἐσόμενος, ὅπερ ἔχει λοιπὸν καθ' ἑαυτὸ δεξιὸν καὶ ἀριστερόν, διὰ τοῦτο οἱ μετ' ἐκείνους οἷον ἐπιδιορθούμενοι τὸ ῥηθέν, «καὶ αἴρων, φασί, τὴν μερίδα τίθησιν ἐν τῷ δεξιῷ μέρει τοῦ ἁγ. ἄρτου εἰς τὸ μέσον αὐτοῦ λέγων· παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου», δεξιὸν μέρος λέγοντες, ὡς εἴρηται, τὸ ἀριστερὸν τοῦ ἱερέως. ἐν τῷ αὐτῷ δὲ μέρει καὶ τὰ τάγματα ὑποστρώννυσι τῶν ἁγίων ὑπὸ τὴν μερίδα τῆς Θεοτόκου δηλῶν τὴν ὑποβεβηκυῖαν τιμήν. ἐπειδήπερ καὶ τὰ λογικὰ πρόβατα τοὺς δικαίους ὁ κύριος ἐκ δεξιῶν, φησίν, αὐτοῦ στήσει, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων· καὶ τὰς λοιπὰς δέ, ἃς περὶ ζώντων καὶ τεθνεώτων λαμβάνει μερίδας, ὑποκάτω τίθησι τῶν ταγμάτων ἐν τῷ αὐτῷ δεξιῷ μέρει, ἵνα καὶ αὐτοὺς ὁ κύριος ἐγκαταλογῶν ἀξιώσῃ τῆς δεξιᾶς μερίδος τῶν σωζομένων τυχεῖν

ἕτεροι δὲ συνοπτικώτερον, οἶμαι, κρίναντες τὰς τοιαύτας μερίδας ὑποκάτωθεν τίθενται τοῦ ἁγίου ἄρτου, ἐπειδὴ περὶ ἀγνοουμένων προσφέρουσι ψυχῶν· περὶ ὧν μόνος ὁ τῶν κρυπτῶν γνώστης οἶδε διὸς ποτέρας ἐπὶ μερίδος ἤτοι δεξιᾶς ἢ ἀριστερᾶς, εἰ καὶ δέονται τῆς δεξιᾶς καὶ οὗτοι μερίδος τυχεῖν. ὁ δὲ ἱερώτατος Συμεὼν ὁ Θεσσαλονίκης ἐν τῷ περὶ τῆς ἱερᾶς λειτουργίας κεφ. κγ' κ. ϟδ', ἐκ δεξιῶν μὲν τοῦ ἄρτου ἁγίου μόνην τάττει τὴν μερίδα τῆς Θεοτόκου, ἐξ ἀριστερῶν δὲ τὰς περὶ τῶν ἐπουρανίων δυνάμεων καὶ τῶν ἄλλων ἁγίων πάντων, τὰς δὲ λοιπὰς ὑπὲρ τῶν ζώντων καὶ τεθνεώτων μερίδας ὑποκάτω τίθησι τοῦ ἱεροῦ ἄρτου "ὡς ὑπὲρ ἡμῶν", φησί, "τῶν ταπεινῶν προσενεχθείσας τοῦ ἱλασμοῦ καὶ μεσιτείας δεομένων καὶ τὸ μέγα ἔλεος τοῦ Θεοῦ ἀπεκδεχομένων." τὴν δὲ τοιαύτην λεπτομερῆ τάξιν ἀναγκαῖον, οἶμαι, πάντας τοὺς ἱερουργοῦντας ἀπαραβάτως τηρεῖν ὡς ὀρθὴν ἔχουσαν μόνην, καὶ μόνην σῴζουσαν κατὰ λόγον καὶ ἀπονέμουσαν τὸν οἰκεῖον ἑκάστῳ βαθμόν· οὐ γὰρ περὶ τῆς ἐν τῷ μέλλοντι κριτηρίῳ σωματικῆς τε καὶ περιγραπτῆς στάσεως καὶ τάξεως ἐνταῦθα ὁ λόγος, ὅπου τὰ μὲν πρόβατα στήσει ἐκ δεξιῶν (εἰ κἀκεῖνος περὶ τῆς τοιαύτης

ὁ λόγος τάξεως), τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων, ἵνα κἀνταῦθα τὰς τοιαύτας περὶ τῶν ὁπωσοῦν σωζομένων προσφερομένας μερίδας ἐκ δεξιῶν τοῦ δεσποτικοῦ τάξωμεν σώματος, ἢ κατὰ τὴν διμερῆ τάξιν τὰς μὲν περὶ τῶν δικαίων πάντων ἐκ δεξιῶν, τὰς δὲ περὶ τῶν ζώντων καὶ τεθνεώτων ὑποκάτω τοῦ κυριακοῦ σώματος ἐκείνης τούτων ἀποληφθείσης τῆς ἀριστερᾶς τοῦ ὅλου μερίδος· ἐν ἐκείνῳ γὰρ τῷ δικαστηρίῳ οὔτε περὶ τῆς παναχράντου μητρὸς τοῦ θεοῦ εἰς δικη-
μυτὰ [τῆς] τῶν δικαίων στάσεως γίνεται λόγος, τῆς ἐντεῦθεν πρὸ
φ. 156α τοῦ κριτηρίου ἐκείνου τῆς ὑπερτάτης ἐκείνης καὶ βασιλίδι μητρὶ θεοῦ πρεπούσης κληρωθείσης τιμῆς, οὔτε μὴν περὶ τῶν τελείων ἐπουρανίων δυνάμεων. πρὸς δὲ καὶ στάσις γίνεται ὥσπερ ἡ τῶν σωζομένων ἐν τοῖς δεξιοῖς, οὕτως καὶ ἀπολλυμένων[1] ἐν τοῖς εὐωνύμοις. ἐνταῦθα δὲ τὴν μὲν α΄ τάξιν, ὡς εἰκός, ἡ τῆς θεοτόκου πληροῦται μερίς, τὴν β΄ δὲ ἡ τῶν ἐπουρανίων δυνάμεων καὶ καθ᾿ ἑξῆς τῶν ἀπ᾿ αἰῶνος ἁγίων, γ΄ δὲ καὶ τελευταίαν ἡ περί τε ζώντων καὶ τεθνεώτων τῶν ἐπ᾿ ἐλπίδι ζωῆς αἰωνίου. περὶ δὲ τῶν ἀπολλυμένων[1] οὐδαμοῦ τις δίδοται χώρα. οὐκοῦν ⟨οὖν⟩ περὶ ἐκείνης τῆς στάσεώς τε καὶ τάξεως ἐνταῦθα

1. ἀπολουμένων.

ἵνα ϗ κατ' ἐκείνην τάξωμεν ἐνταῦθα τὰς τοιαύτας μερίδας. ἀλλὰ κατὰ τὸν θεόσοφον τοῦτον διδάσκαλον ϗ τὴν τοῦ μυστηρίου τῆς τοῦ προὔργου δύναμιν ϗ τῶν πραγμάτων ἀκολουθίαν περὶ τῆς σπουδαζομένης ἐκείνης τῶν πολλῶν ἐστιν ἐκκλησίας ὁ λόγος, ἐκ πάντων συμπληρουμένης τῶν τε οὐρανίων ϗ τῶν ἐπιγείων, ἤτοι τῶν θείων ϗ ἀνθρωπίνων, ἥτις ἐνταῦθα μὲν κτίζεται ϗ νῦν ἐν μέρει ϗ διὰ τέλους οἰκονομεῖται ϗ ἑτοιμάζεται προνοίᾳ θεοῦ, ἄχρις ἂν ὁ προωρισμένος τῶν σωζομένων ἀριθμὸς πληρωθῇ ϗ τηνικαῦτα μετὰ τὴν ἀπαραλόγιστον ἐσχάτην ἐκείνην τῶν βεβιωμένων δικάσωσιν εἰς τὴν ἀπὸ καταβολῆς κόσμου ἡτοιμασμένην οὐράνιον βασιλείαν ἀποκατασταθῇ, ἥτις ϗ οἶκος εἶναι λέγεται τοῦ θεοῦ ϗ πατρός. ϗ πολλαὶ μὲν εἰσὶν ἐν αὐτῷ μοναὶ ϗ διαφοραὶ τῶν σωζομένων, κατὰ μέντοι κοινοτέραν πρὸς θεὸν ἀναφοράν τε ϗ σχέσιν τὴν μὲν ὑπερτάτην ἐκείνην τιμὴν ϗ ἐκ δεξιῶν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ϗ θεοῦ δικαίαις ψήφοις ἡ παναχράντος αὐτοῦ μήτηρ κεκληρῶσθαι ϗ ἤδη κεκλήρωται χωρὶς ἐξῃρημένης οὔσης ϗ βασιλικῆς τῆς τοιαύτης τιμῆς, καθὼς ὁ μονογενὴς αὐτῆς υἱὸς ϗ θεὸς ἀναληφθεὶς ἀφ' ἡμῶν ἐκ δεξιῶν ἐκά-

διότι, φησί, τοῦ θεοῦ ϗ πατρός. τῶν δὲ λοιπῶν εἰς δύο τάξεις κοινότερον συναιρουμένων, καίτοι κατὰ μυρίας πρὸς ἀλλήλας, ὡς εἴρηται, ϗ ἀπείρους διαφοράς, τῶν μὲν ὁμολογουμένως ὄντων δικαίων τε ϗ ἁγίων, οἷον ἀγγέλων τε ϗ ἀνθρώπων, τῶν δ' ἀμφισβητουμένων ἔτι ϗ ἐπ' ἐλπίδι, οἷον ζώντων τε ϗ τεθνεώτων, ἐκείνους μὲν δίκαιος νόμος, οἷον ἀγγέλους τε ϗ ἀνθρώπους ἁγίους, τὴν εὐώνυμον κληροῦσθαι χώραν, δηλ. τὴν μετὰ τὴν παναχράντου θεοτόκου τιμήν (κῦδος δέ τι, φησί, ϗ τὸ μέγιστον. Γρηγ. περὶ παρθενίας, ἐπῶν θεοσ. 4δ') μετὰ τῆς προσηκούσης πρὸς ἀλλήλους τῶν ἐννέα ταγμάτων διαφορᾶς, τοῖς δ' ἐσχάτοις ϗ τελευταίοις τὴν ἀνήκουσαν αὐτοῖς ἰδίᾳ ἐσχάτην ϗ τελευταίαν ἀπονέμεσθαι τάξιν, ἥτινα ἡ ὑποπέζιος ϗ ὑποβεβηκυῖα τοῦ ἁγίου ἄρτου χώρα δηλοῖ, οἵτινες τὸ καθ' ἑαυτοὺς ἐλλείποντες ταῖς πρὸς τὸν φιλάνθρωπον θεὸν τῶν τε ἁγίων ἁπάντων ϗ τῆς θεοτόκου πρεσβείαις ἐλπίζουσι σωτηρίας τυχεῖν. "ἴδωμεν γάρ, φησί, πῶς ϗ διὰ τούτου τοῦ θείου τύπου ϗ τοῦ ἔργου τῆς θείας προσκομιδῆς τὸν Ἰησοῦν αὐτὸν ϗ τὴν ἐκκλησίαν αὐτοῦ μίαν πᾶσαν ὁρῶμεν, μέσον αὐτὸν τὸ ἀληθινὸν φῶς, τὴν ζωὴν τὴν αἰώνιον κυκλουμένην ϗ φωτιζομένην

...θεοσ. 4δ'

ὑπ' αὐτοῦ καὶ συνεχομένην· αὐτὸς μὲν γὰρ διὰ τοῦ ἄρτου μέσον ἐστίν, ἡ μήτηρ δὲ ἐπὶ τῆς μερίδος ἐκ δεξιῶν, ἅγιοι δὲ καὶ ἄγγελοι ἐξ ἀριστερῶν· ὑποκάτω δέ, ἁπάντων τῶν αὐτῷ πιστευσάντων τὸ εὐσεβὲς συνάθροισμα" καὶ τοῦτό ἐστι τὸ μέγα μυστήριον· θεὸς ἐν ἀνθρώποις καὶ θεὸς ἐν μέσῳ θεῶν θεουμένων ἐκ τοῦ κατὰ φύσιν
φ. 156β ὄντως θεοῦ σαρκωθέντος ὑπὲρ αὐτῶν· καὶ τοῦτο ἡ μέλλουσα βασιλεία καὶ τῆς αἰωνίου ζωῆς τὸ πολίτευμα· θεὸς μεθ' ἡμῶν φαινόμενός τε καὶ μεταλαμβανόμενος κτλ. Ὅτι δὲ τὰ δεξιὰ μέρη τοῦ ἁγίου ἄρτου τὰ ἐξ ἀριστερῶν εἰσι τοῦ ἱερέως, ὅπου καὶ τὴν μερίδα τῆς θεοτόκου τακτέον εἶναι φαμέν· ἀριστερὰ δὲ τούτου τὰ ἐκ δεξιῶν τοῦ ἱερέως, ὅπου καὶ αἱ τῶν ἁγίων μερίδες τακτέαι εἰσί, καὶ τὸ ἅγιον ἵσταται ποτήριον, εἰ καὶ ἱκανῶς ἐκ τῶν εἰρημένων ἐς τόδε γέγονε δῆλον, ἀλλ' ἐκ περιουσίας εἴπωμεν καὶ εἰς πληρεστέραν τε τοῦ λόγου σαφήνειαν προσκείσθω τοῖς εἰρημένοις καὶ ταῦτα: ἐπεὶ γὰρ κατὰ κοινῆς ὑπολήψεως ἀτοπώτατον φαίνεται τὸ τὸν ἱερέα ἐκ τοῦ ὁπωσοῦν τεμνομένας τῷ δεσπότῃ προσφέρειν θυσίας ὑπὲρ ἑαυτοῦ καὶ περὶ ὧν ἁπάντων τὴν τοιαύτην ἀναίμακτον καὶ ὑπερφυᾶ θυσίαν ἱερουργεῖ, ἀπαίσιον ὂν ἀνθρώποις καὶ μάλιστα ἐκ τοῦ ὄπισθεν

ἐντυγχάνειν τοῖς κρείττοσι, μή τοιγε καὶ τοῖς ἱερεῦσιν αὐτῷ τῷ πάντων ἐκ τῶν ὄπισθεν ἐντυγχάνειν δεσπότῃ.

Τί τὸ κινῆσαν ἐνίους τἀναντία τοῖς εἰρημένοις φρονεῖν.

Τί δὲ τὸ κινῆσαν ἐνίους τὴν ἀντίθετον τάξιν δοξάζειν; τὸ[1] κατὰ μίμησιν τοῦ ἀμνοῦ πρηνῆς βαδίζοντος τὸν κύριον εἰς θυσίαν ἀχθῆναι· "ὁ γὰρ ἀμνός, φασίν, οὐχ ὕπτιος ἀλλὰ πρηνὴς βαδίζειν μεμάθηκεν. διά τοι τοῦτο, φασί, καὶ τὰ ἐν τῷ ἄνω μέρει τῷ ἔχοντι τὸν σταυρόν, ΙΣ ΧΣ γράμματα, τὰ ὄπισθεν τοῦ ἁγίου ἄρτου καθεστήκασιν[2]. ὁ γὰρ σταυρὸς οὐκ ἔμπροσθεν, ἀλλ' ὄπισθεν τοῦ παναγίου σώματος τοῦ κυρίου ἐτέθη σαφέστατα, τὰ δὲ ὑποκάτω πάντα τὰ ἔμπροσθεν τούτου ἀναμφιβόλως τυγχάνουσιν· καὶ τούτου χάριν καὶ τὸ πρόσωπον τοῦ ἁγίου ἄρτου τὰ ὑποκάτω ἡμᾶς ἐκλαμβάνοντας ἐν τοῖς δεξιοῖς τούτων τόδε ἅγιον ποτήριον, τὴν σφραγῖδα τῆς θεοτόκου κατὰ τὸν προφήτην λέγοντα τό: παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου, καὶ τὰς λοιπὰς τῶν ἁγίων ἐννέα μερίδας μετ' αὐτήν, καὶ δι' αὐτῆς τὸν ἁγιασμὸν λαμβανούσας τιθέναι εἰώθαμεν θεοσόφως τοῦτο ποιοῦντες". τοιοῖς δέ τισι λόγοις κινηθέντες τὴν ἀντίθετον τῶν μερίδων ἐκτίθενται τάξιν, καὶ ἐκ-

[1] τῷ. [2] καθηστήκασιν.

ρηται· ἡμεῖς δὲ σκεψώμεθα, εἴ τινος ἔχονται λόγου τὰ τοιαῦτα ἐπιχει-
ρήματα. τὸ οὖν κατὰ μίμησιν φάναι τοῦ ἀμνοῦ πρηνὴς βαδίζοντα,
τοῦ κυρίου εἰς θυσίαν ἀχθῆναι κατὰ νῶτον τὸν σταυρὸν κεκλιμένον
οὐδενός μοι φαίνεται λόγου ἐχόμενον· ἀλλότριον γὰρ τὸ πρηνὴς βαδί-
ζειν ἀνθρώποις δίκην ἀλόγων ἐπὶ τεσσάρων. ὥσπερ οὖν ὁ ἀμνὸς
ὀρθὰ βαδίζειν οὐ μεμάθηκεν, οὕτως οὐδὲ ὁ ἄνθρωπος μεμάθηκε
πρηνὴς βαδίζειν· ἀμνὸς δὲ ὁ Χριστὸς ἄκακος ὀνομάζεται παρὰ
τῷ προφήτῃ διὰ τὴν καὶ μέχρι θανάτου ὑπακοήν, οὐ μὴν δὲ καὶ διὰ
τὸ πρηνὴς βαδίζειν, ἄλλως γὰρ ἔδει καὶ τετράπουν εἶναι τὸν κύ-
ριον, ἵνα καὶ πρηνὴς βαδίσῃ, καθὰ καὶ πρόβατον. οὔτε μὴν ὁ τοι-
οῦτος σταυρὸς τὰ ὀπίσθια δηλοῖ τοῦ Χριστοῦ, καὶ μάλιστα τὸ κύ-
ριον ἐπιγεγραμμένον ὄνομα, ὃ προφανέστατα τὸ ἔμπροσθεν τοῦ
ἁγίου ἄρτου (Συμ. Θεσσ. λβ') δηλοῖ, ὅτε καὶ ὁ κύριος ἐκ τοῦ ἔμ-
προσθεν ἐπεγέγραπτο ἐπὶ τοῦ σταυροῦ ὑπὸ τοῦ Πιλάτου. ἐκεῖ-
τοῦτο μόνον σημαίνει ὁ τοιοῦτος σταυρός τοὔνομα ἐπιγεγραμ-
μένος, ἀλλὰ τὸ ὑπ' αὐτοῦ ἀναπολαμβανόμενον μέρος τῆς προσφορᾶς ἄλ-
φ. 157α λο ὑπὸ τοῦ υἱοῦ καὶ λόγου παρὰ τῆς ἀνθρωπίνης φύσεως καὶ ἐκ τῆ-
ς τῶν παρθενικῶν αἱμάτων προσλαμβανόμενον φύραμα

σημαίνει, διό καί τά πολλά πρίν ὀπτηθῆναι τῇ ζύμῃ τυποῦται, καί ὅλην τήν μέχρι τοῦ σωτηρίου πάθους ἡλικίαν Χριστοῦ (Καβασ. ς΄.), καί ἤδη ἀπολέλειπται καί ἀφωσίωται εἰς τό γενέσθαι σῶμα τοῦ ἐσταυρωμένου Χριστοῦ, οὐκ ἔτι δέ καί τήν σταύρωσιν αὐτήν τοῦ κυρίου σημαίνει, ἵνα κἀπεί τοῦτο τεθείη, καί τά ὁπόσα τοῦ ἁγίου ἄρτου δηλώη· καί τοῦτο δῆλον οὐ μόνον ἐκ τῆς ἐπιγραφῆς τοῦ ὀνόματος ἐκ τοῦ ἔμπροσθεν ἀεί κειμένης τε καί ἀναγινωσκομένης, καθάπερ καί ὑπό τοῦ Πιλάτου ἐπεγέγραπτο τῷ σταυρῷ τοῦ Χριστοῦ, ἀλλά καί ὅτι οὐδέν ἕτερον ὁ ἱερεύς εἰσί τοῦ σταυροῦ ποιεῖται, οὐδέ μνείαν τινα περί τῆς τοῦ κυρίου σταυρώσεως ὑπ᾽ αὐτοῦ ποιεῖται, ὅπερ ἔδει μάλιστα πάντων; οὔτε μήν αὐτός ἐγχαράττει τόν τοιοῦτον σταυρόν, ἀλλ᾽ ὑπό τοῦ ἀρτοποιοῦ ἐντυποῦται, καί οὐ τῷ ἄρτῳ ἀλλά τῇ ζύμῃ, καί εἰσί πᾶσι τούτοις, εἴπερ τήν τοῦ κυρίου σταύρωσιν ὁ τοιοῦτος ἐδήλου σταυρός, οὐκ ἄν ὁ ἤδη ἐσταυρωμένος ἄρτος καί ἑτέρας ἐδεῖτο σταυρώσεως, καί εἰ πρηνής ἦν, οὐκ ἄν ἐδεῖτο τῆς ὑπτίας στροφῆς, εἴπερ ἐκ τοῦ ὄπισθεν ὁ κύριος ἐσταυρώθη, ὡς εἴρηται. νῦν δέ μετά τήν ἀπό τῆς προσφορᾶς τετράγωνον ἀνατομήν τε καί ἔπαρσιν, εὐθύς στρέφει τό πρόσωπον τοῦ ἄρτου τό ἐσταυρωμένον καί τοὔνομα ἐπιγεγραμ-

μένον κατὰ τὰ κάτω, καὶ τὴν ἀκίδωτον ὄψιν κατὰ τὰ ἄνω, καὶ ἐνταῦθα λοιπὸν τὴν ἀνάμνησιν τῆς σωτηρίου σταυρώσεως αὐτουργεῖ, καὶ σταυρὸν ἐγχαράττει τῇ λόγχῃ καὶ "θύεται, φησίν, ὁ ἀμνὸς τοῦ Θεοῦ" ταῦτα δὲ ποιεῖ πρόδηλον ὡς κατὰ νώτου καὶ ἐκ τῶν ὄπισθεν τοῦ κυριακοῦ σώματος. Ἐπεὶ δὲ καὶ μετὰ τὴν σταύρωσιν καὶ τὸν θάνατον ὁ στρατιώτης ἐλθὼν καὶ ἰδὼν ἐκ τῶν ἔμπροσθεν ἤδη τεθνηκότα, λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξε, καθάπερ καὶ ἐν ταῖς σταυρικαῖς εἰκόσι θεωρεῖται νύξις ἐκ τῶν ἔμπροσθεν τὴν πλευράν. Διὰ τοῦτο καὶ ὁ ἱερεὺς μετὰ τὴν σταύρωσιν στρέφει τὸν νῶτον κατὰ τὰ κάτω καὶ μεταφέρει τὸ ἔμπροσθεν κατὰ τὰ ἄνω, καὶ νύττει τὸν ἅγιον ἄρτον ἐν τῷ δεξιῷ μέρει, ἤτοι τὸ ἐξ ἀριστερῶν τοῦ ἱερέως διὰ τῆς λόγχης εἰπών· "καὶ εἷς τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξε, καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ κτλ." καὶ οὕτω καθεξῆς τίθησι κατὰ τὸν ῥηθέντα διδάσκαλον (Συμ. Θεσσ.) τὴν μὲν τῆς Θεοτόκου μερίδα ἐκ δεξιῶν τοῦ ἁγίου ἄρτου, ἐξ ἀριστερῶν τοῦ ἱερέως, τὰς δὲ τῶν θ' ταγμάτων, οἷον ἀγγέλων τε καὶ ἁγίων ἐξ ἀριστερῶν τοῦ αὐτοῦ, ἐκ δεξιῶν τοῦ ἱερέως, ὑποκάτω δὲ τούτου τὰς λοιπὰς τίθεται περί τε ζώντων καὶ τεθνεώτων μερίδας, ὡς ἐγράφη καὶ ἀνωτέρω. Τὸ οὖν ἰδεῖ

παρέντας τὴν τῶν πραγμάτων ἐξέτασιν καὶ ἀκολουθίαν ἐπὶ τὴν τοῦ ἀμνοῦ μίμησιν ἀνατρέχειν, ὅθεν ἀναιρεῖται ἡ σῴζουσα μονονουχὶ τοῦ μυστηρίου ἀκολουθία, καὶ ἀνωτέρω τοσαῦτα συνήγετο ἄτοπα τοῖς τὴν ἀντίστροφον τῶν μερῶν τοῦ ἁγίου ἄρτου τάξιν διὰ τὴν τοῦ ἀμνοῦ μίμησιν προαιρουμένοις. καὶ τίνα γὰρ λόγον ἔχει καὶ τοῦ πρηνῆ τὸν ἀμνὸν βαδίζειν, πρηνῆς καὶ τὸ κυριακὸν σῶμα προκεῖσθαι συνάγειν· ὁ γὰρ προφήτης ἤχθη, φησίν, ὡς πρόβατον ἐπὶ σφαγήν, οὐ βεβάδικεν ὡς πρόβατον. ἄγεται
157β δὲ τὸ πρόβατον οὐ μόνον βαδίζον ἀλλὰ καὶ ἐπ' ὤμων φερόμενον, καὶ πολλαχῶς ἄλλως (Λουκ. 15,5). καὶ ὁ κύριος οὖν εἰ καὶ ἤχθη ἐπὶ τὴν σταύρωσιν, ἀλλ' οὐ πρηνὴς πάντως βαδίζων ἐπὶ τεσσάρων. ἤχθη δὲ ἅπαξ ἐν τῷ παντὶ αἰῶνι, οὐ μὴν δὲ καὶ διὰ βίου ἄγεται εἰς τὸ σταυρωθῆναι, ἀλλ' ὅτι ὁ προκείμενος ἅγιος ἄρτος εἰς αὐτὸ τοῦτο μεταβάλλεται τὸ κυριακὸν σῶμα, ἐπεὶ καὶ νῦν κεντᾶται ἡ τοῦ ἁγίου ἄρτου πλευρά. οὔπω μέντοι σῶμά ἐστι τοῦ Χριστοῦ. οὔτε μὴν ἐκεῖθεν ἐκρέει αἷμα καὶ ὕδωρ. οὐκοῦν τὰ τοῦ ἀμνοῦ καὶ τοῦ προβάτου διὰ τὴν ῥηθεῖσαν καὶ μέχρι θανά-

τοῦ ὁπωσοῦν περὶ τῆς ἅπαξ γενομένης ἐρρέθη θυσίας. νῦν δὲ τὰ τοιαῦτα ῥητὰ κατὰ τὴν πρὸς τὸ ἅπαξ γεγενημένην ἀναφορὰν εἰσάγεται τῷ μυστηρίῳ τῆς εὐχαριστίας, ὅτι προφητευόμενα ποτ' ἦν τὰ τότε πραχθέντα.

Διατί τὸ ποτήριον ἐξ ἀριστερῶν ἵσταται τοῦ ἁγίου ἄρτου τῆς δεξιᾶς τυχούσης χώρας;

Διατί δὲ τὸ ποτήριον ἐξ ἀριστερῶν ἵσταται τοῦ ἁγίου ἄρτου τῆς δεξιᾶς τυχούσης χώρας, ἄλλος λόγος οἶμαι. τὸ μὲν ἵνα δηλώσῃ, ὅτι ἀπὸ τῆς εὐωνύμου μερίδος καὶ τῆς τοῦ διαβόλου τυραννίδος, καὶ ὅλως διὰ τοὺς ἁμαρτωλοὺς τὸ ποτήριον ἐκχυθὲν [illegible] αἷμα, τοὺς αἱρουμένους τῆς δεξιᾶς ἀξιοῦται μερίδος. "οὐ γὰρ ἦλθον, φησί, καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν" (Ματθ. 2,17). τὸ δ' ὅτι ἐντεῦθεν ἐστιν ἡ δεξιὰ τοῦ ἱερέως. ἔπειτα οὐκ εἰς τέλος ἐξ ἀριστερῶν ἵσταται τοῦ ἁγίου ἄρτου, ἀλλ' ἕως τ' ἂν ᾖ δυνάμει σῶμα Χριστοῦ. μετὰ δὲ τὴν εἰς τοῦτο μεταβολήν, ὅτε καὶ τὸ ποτήριον ἔρρωσεν αἷμα

ὅλον ἐν ἑαυτῷ ὑποδέχεται τὸν Χριστὸν μετὰ τῶν δεξιῶν αὐτοῦ καὶ τῶν ἀριστερῶν. κἀκεῖνο δὲ εἴποι τις ἂν διὰ τὸ μηδὲν ὑποσημαίνεσθαι τοῖς ἱεροῖς εὐαγγελίοις περὶ τῆς νυγείσης πλευρᾶς, πότερον δεξιὰ ἦν ἢ ἀριστερά, ὡς μηδὲν ἔχοντος μέρος ἀριστερὸν καὶ ὑποβεβηκὸς εἰς ἐνέργειαν τοῦ κυριακοῦ σώματος, ἀλλ' ὄντος πάντη παντὸς δεξιοῦ. τὸ δὲ μεῖζον πάντων, ἵνα σημάνῃ ὡς ἐν τῷ παρόντι βίῳ ἡ τοιαύτη ᾠκονομήθη σφαγὴ καὶ θυσία, ἐν δὲ τῷ μέλλοντι τὰ τοῦ πάθους ἀπέδρα καὶ τῆς οἰκονομίας, ἅτινα διὰ τῆς εὐωνύμου καὶ ὅλως τὰ τοῦ παρόντος βίου ὑποδηλοῦται μερίδος. ἐκεῖσε δὲ τὰ δεξιὰ μόνα πρεσβεύεται τοῦ σωτῆρος ἐν τῇ ὑπερουρανίῳ ἐκκλησίᾳ καὶ βασιλείᾳ, ὅπου ὡς ἔφαμεν καὶ τὰ τάγματα μόνον τετάχαται τῶν ὁπωσοῦν τῷ θεῷ εὐαρεστηκότων καὶ σωζομένων. ὅπου τὰ πάντα δεξιὰ καὶ εὐώνυμον οὐδαμοῦ. διὰ δὴ ταῦτα καὶ τὰ τοιαῦτα οὐδεμίαν ἔσχηκε χώραν ἡ τοιαύτη ἐν τοῖς δεξιοῖς στάσις τοῦ σωτηρίου. ἀλλὰ ταῦτα μὲν περὶ τούτων ἐπὶ τοσοῦτον εἰπεῖν ἱκανά· ἐπὶ δὲ τὸ προκείμενον ἐπανήξωμεν.

## Ὅπως ἐν ἑκάστῳ μορίῳ τοῦ ἄρτου ὁλόκληρον σώζεται καὶ τέλειον τὸ σῶμα τοῦ Χριστοῦ.

Πρὸς τοῖς εἰρημένοις καὶ τοῦτο εἶχεν ἂν τις ἀπορῆσαι πῶς, ὡς εἴρηται, καὶ τὸ πολλοστημόριον καὶ τὸ ἐλάχιστον μέρος τοῦ κυριακοῦ ἱερουργουμένου σώματος ὁλόκληρον καὶ τέλειόν ἐστι σῶμα Χριστοῦ; πρὸς δὴ τὴν τοιαύτην ἀπορίαν ἀπαντῶντες φαμέν, ὅτι οὐ τοῖς τοῦ ἄρτου συμβεβηκόσι, καθ' ἃ καὶ διαιρεῖται, ὡς εἴρηται, τὸ κυριακὸν περιγράφεται σῶμα, ἵνα καὶ συνδιαιρεθείη διαιρουμένοις, ἀλλὰ τῇ οὐ- φ. 158ª σίᾳ καὶ φύσει τοῦ ἄρτου εἰς αὐτὸ ἤδη τοῦτο μεταβεβηκυίᾳ· ὥσπερ δὴ ἡ οὐσία τοῦ ἄρτου καὶ ἐν τῷ ἐλαχίστῳ μέρει τούτου τελεία ὑπάρχει, κἂν ἐλάχιστον εἴη, τέλειός ἐστιν ἄρτος· οὕτω καὶ τὸ κυριακὸν σῶμα καὶ ἐν τῷ ἐλαχίστῳ μέρει σώζεται τούτου, κἂν εἰς ἄπειρα μέρη καὶ μόρια κατὰ τὰ συμβεβηκότα διαιρεθείη.

Πῶς τοῦ δεσποτικοῦ σώματος ἀπαθοῦς μένοντος τὰ πολλὰ ταῦτα πάσχει καὶ τοῖς ὀδοῦσι καταναλίσκεται;

Ὅθεν οὐδὲ πάσχει τι ἐκ τῆς τοιαύτης κατατομῆς τὸ κυριακὸν σῶμα τέλειον ἐν ἑκάστῳ μέρει καὶ ἀπαθὲς μένον, εἰ καὶ δοκεῖ πάσχειν διαιρούμενον καὶ τοῖς ὀδοῦσι καταλεαινόμενον καὶ κατεσθιόμενον· ἡμῶν γὰρ οἰκεῖος ἡ μετάληψις ἐστι μόνη τούτου· ἀλλ᾽ ἐπειδὴ τοῦτο καὶ μετὰ τὴν μεταβολὴν ὑπὸ τοῖς συμβεβηκόσι ἔτι τοῦ ἄρτου καὶ τοῦ οἴνου τελεῖ, ὁ δὲ ἄρτος καὶ οἶνος, ὥσπερ δὴ καὶ πᾶν βρῶμα καὶ πόμα, οὐκ ἄλλως ὅτι μὴ διὰ βρώσεως καὶ πόσεως μεταλαμβάνεται, διὰ τοῦτο καὶ τὸ κυριακὸν σῶμα τὸν τρόπον μεταλαμβάνεται, διὰ τὰ ἐπιφερόμενα συμβεβηκότα, φημί, τοῦ ἄρτου καὶ τοῦ οἴνου· διὸ καὶ φησὶν ὁ αὐτουργὸς τῶν μυστηρίων Δεσπότης, "ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα", τὸν τρόπον τῆς τοιαύτης δηλῶν μεταλήψεως· ὥστε ὡς μὲν ἄρτος καὶ οἶνος διὰ τὰ φαινόμενα συμβεβηκότα τρώγονται καὶ πίνονται, ὡς δὲ σῶμα καὶ αἷμα διὰ τὴν ὑποκειμένην οὐσίαν μεταλαμβάνονται μόνον, ὡσανεὶ μόνον τῷ νῷ ἐν τοῖς πεπιστοῖς ἐγγινομένου διὰ τῆς τοιαύτης μεταλήψεως τοῦ σωτῆρος Χριστοῦ, ὅθεν καὶ μετάληψις ἰδιαίτερον τὸ πρᾶγμα

κ. κοινωνία καλεῖται. ἀλλ' οὐ βρῶσις ἢ πόσις, εἰ μή που διὰ τὰ ἐπιφερόμενα συμβεβηκότα, ὡς εἴρηται, κ. διὰ τὸ μὴ τυπικήν τινα ὑπονοεῖσθαι τὴν τοιαύτην μετάληψιν, ἀλλὰ πράγματι κ. ἀληθείᾳ· ὅθεν κ. φησίν: ἡ γὰρ θεία σὰρξ ἀληθῶς ἐστι βρῶσις, κ. τὸ αἷμά μου ἀληθῶς ἐστι πόσις, κ. αὕτη ἐστὶν ἡ ἀληθὴς κ. οὐράνιος τροφὴ τῆς ψυχῆς. ἐντεῦθεν κ. ὁ μακάριος Σαμωνᾶς πρὸς τὸν Σαρακηνόν. "ὅταν τοίνυν, φησί (44.30 ἀνωτέρω) ὁ ἁγιασθεὶς ἄρτος εἰς μέρη τέμνεται, ὅς τὸ πανάγιον τοῦ Χριστοῦ ἐστι σῶμα, μὴ νομίσῃς ὅτι μερίζεται ἢ ἀποσπᾶται, ἢ διαιρεῖται τὸ ἄχραντον ἐκεῖνο σῶμα· ἀθάνατον γὰρ κ. ἄφθαρτον κ. ἀδαπάνητον, ἀλλ' ὅτι μερισμός ἐστιν ἐκεῖνος τῶν αἰσθητῶν συμβεβηκότων μόνον μετὰ τὸν ἁγιασμὸν πρὸς ῥώμην πίστεως κ. παράστασιν ὁρατοῦ σημείου τῶν μενόντων κ. ἀρραβῶνα κ. ἐφόδιον ζωῆς αἰωνίου".

Τί διαφέρει ὁ ἁγιαζόμενος ἄρτος τοῦ ἀρχετύπου σώματος τοῦ Χριστοῦ;

Κατὰ τοῦτο· διαφέρει ὁ ἁγιαζόμενος ἄρτος οὗτος τοῦ πρω- …

καὶ τοῦτο.

τύπου ἐκείνου κυριακοῦ σώματος, αὐτὸ τοῦτο ἐκεῖνο ἤδη γεγεννημένος, ὅτι καὶ νῦν ὑφίσταται τοῖς τοῦ ἄρτου καὶ οἴνου συμβεβηκόσι τοῦ θεοῦ τοῦτο οἰκονομήσαντος, τάχα καὶ διὰ τὴν μετάληψιν, ἵνα δίκην ἄρτου καὶ οἴνου, διὰ βρώσεως καὶ πόσεως συνήθως ἐκεῖνο αὐτὸ μεταλάβωσιν οἱ πιστοὶ τὸ σῶμα καὶ αἷμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς ἁγιασμὸν καὶ θέωσιν ψυχῆς τε καὶ σώματος, καὶ ἵνα εἰς λεπτὰ μεριζόμενα κατὰ τὰ συμβεβηκότα τοῦ ἄρτου καὶ οἴνου, ὡς εἴρηται, αὐτὸ
φ.158ε τοῦτο ὁλόκληρον αὖθις ἐν ἑκάστῳ μέρει διαμείνῃ σῶμα καὶ αἷμα Χριστοῦ.

Τί γίνεται τὸ μεταλαμβανόμενον ἐν ἡμῖν σῶμα καὶ αἷμα Χριστοῦ.

Κ' ἵνα[1] τῶν συμβεβηκότων τοῦ ἄρτου καὶ οἴνου μετὰ τὴν μετάληψιν διαλυθέντων, αὐτὸ λοιπὸν τοῖς ἀξίοις συμπαραμένῃ μέχρι συντελείας τοῦ αἰῶνος ἁγιάζον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα μέχρι θανάτου καὶ ταφῆς καὶ αὐτῆς [τῆς] ἀναστάσεως καὶ εἰς αἰῶνας ἀτελευτήτους, ὅτε καὶ οἱ δίκαιοι διὰ τὴν τοιαύτην θεουργικὴν μόρφωσιν ἀνακεκαλυμμένην ἤδη

1 ἐλλείπει ἡ κυρία πρότασις εἰς ὅλην τὴν παράγραφον ταύτην.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐκλάμψουσιν ὡς φωστῆρες κατόπτρων δίκην διαυγεστά-
των τὴν ἀπὸ τοῦ αὐτοῦ καὶ ἑνὸς φωστῆρος τοῦ νοητοῦ τῆς δικαιο-
σύνης ἡλίου τὴν αἴγλην ἕκαστος καὶ τὴν ἔμφασιν ἐν ἑαυτοῖς
περιφέροντες, ὅπερ ἐστὶν ἡ κοινωνία καὶ μέθεξις τοῦ θεαν-
θρώπου Χριστοῦ καὶ τῆς αὐτοῦ δόξης καὶ βασιλείας, ὅτι καὶ ὁ
κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καθορᾶται ἀναμεμιγ-
Ψαλμ. μθ'.1. μένος θεὸς τῶν θεῶν καὶ κύριος τῶν κυρίων καὶ βασιλεὺς τῶν
Τιμ. Α' ς' 15. βασιλευόντων, ἐπεὶ καὶ αὐτοὶ θεοὶ τηνικαῦτα κατὰ χάριν
Σοφ. θεοσ. 4δ'. εἰσὶ καὶ κύριοι καὶ βασιλεῖς, ἐπεὶ καὶ υἱοὶ ὑψίστου καὶ τέκνα καὶ
Ψαλ. πα' 6. ἐξουσίαν αὐτοῖς δεδομένην γίνονται τοῦ θεοῦ καὶ κληρονόμοι
Ιω. α' 12, ι' 34. τοῦ κοινοῦ πάντων πατρὸς συγκληρονόμοι δὲ τοῦ κοι-
καὶ κ' 17. νοῦ ἀδελφοῦ καὶ Χριστοῦ· κοινὸς γὰρ ὁ πλοῦτος, κοινὴ ἡ δό-
Γαλ. δ' 6-7. ξα, κοινὴ ἡ βασιλεία, ὁ δὲ θεὸς ἔσται τὰ πάντα ἐν πᾶσιν,
Κορ. Α ιε' 28. καὶ δὴ παρ' αὐτοῦ πᾶσα δόσις ἐστὶν ἀγαθὴ καὶ δόξα καὶ χά-
ρις καὶ βασιλεία, ἀναλόγως ὅμως κατὰ τὸ μέτρον τῆς ἑκά-
στου καθαρότητος διαυγείας τε καὶ λαμπρότητος· καὶ οὕτω δι-
ατελοῦσιν εὐφραινόμενοι διηνεκῶς εἰς ἀπεράντους αἰῶνας,
ἀναξίοις δὲ οὖσι τῆς μεταλήψεως ἢ καὶ μετὰ τὴν μετάληψιν

ἀκριβωθεῖσι τηρεῖται εἰς αὐτοὺς ἐκεῖνο· "εἰς ἀσυνέτου καρδίαν θεὸς οὐκ εἰσέρχεται· ἐὰν δὲ καὶ εἰσέρχεται ταχέως ἐξέρχεται." τουτέστι τὸ κυριακὸν ἐκεῖνο σῶμα εἰ καὶ εἰσέρχεσθαι φαίνεται ταῖς τῶν ἀσυνέτων καὶ ἀναξίων ψυχαῖς καὶ καρδίαις τῆς οἰκείας ὅμως οὐ μεταδίδωσι θεουργίας καὶ χάριτος διὰ τὸ ἀνεπιτηδείους εἶναι εἰς ὑποδοχὴν τῆς τοιαύτης θεουργίας τε καὶ μορφώσεως. κἂν δέ ποτε μεταδοίη διὰ τὴν κάθαρσιν, ὅμως εἰς ἑαυτὸ συστέλλεται καὶ ἀναχωρεῖ πάλιν δίκην κατόπτρων τραχυνθέντων καὶ ἀμαυρωθέντων τῶν μεταλαμβανόντων.

Πῶς ἐν διαφόροις τόποις καὶ χρόνοις προσφερόμενα τῷ τε κυριακῷ σώματι καὶ ἀλλήλοις ἕν εἰσι καὶ ταὐτόν.

Πῶς δὲ τὰ ἐν διαφόροις καὶ τόποις καὶ χρόνοις προσφερόμενα τῷ τε κυριακῷ σώματι καὶ ἀλλήλοις ἕν εἰσι πράγματι καὶ ταὐτὸν διὰ τῶν εἰς τόδε ῥηθέντων ἱκανῶς ἀποδέδεικται· ἐπειδὴ πάντα ταῦτα εἰς αὐτὸ τοῦτο ἐκεῖνο μεταβάλλεται τὸ κυριακὸν σῶμα· ἐπεὶ δὲ τοῦτο ἓν ὂν ἁπλῶς καὶ κυρίως οὐδὲν αὐτὸ ἑαυτοῦ διαφέρει, δῆλον ὅτι καὶ ταῦτα πάντα τῷ ὑποκειμένῳ πράγματι κἀκείνῳ καὶ ἀλλήλοις εἰσὶ τὸ αὐτὸ καὶ ἕν, εἰ καὶ

διά τά ἐπιφερόμενα συμβεβηκότα τό πολλά τε εἶναι ἔχουσι
κἀκείνου διαφέρουσι καί ἀλλήλων, ὅτι οὐ δεῖ περιεργάζεσθαι τά
θεῖα, ἤ ὅπως χρή παραδέχεσθαι. ἀλλά ταῦτα μέν τοῖς γ' ἐφ' ἡμῖν
καί τοσοῦτον αἰτήσαντι πεφιλοσόφηνται, πλήν ἔμοιγε τά τῆς εὐ-
φ. 159a σεβείας (sic) δοκεῖ, οἶμαι δέ καί πᾶσι τοῖς τῆς εὐσεβείας τροφί-
μοις μή πειρᾶσθαι τά κρείττονα λόγου περιεργάζεσθαι. εἰ γάρ
συνέζευξεν ἡμᾶς ἐκ περιουσίας πανταχόθεν ὁ μόνος σοφός θε-
ός πᾶσαν ἀπορίας περιελόμενος πρόφασιν, ἡμᾶς ποιήσας λογι-
κά ποιήσας καί τὰ αὐτά τινα ὄντα δημιουργήσας, καί προσθείς
ἡμῖν τορόν ἀναβοῶντα καί ἀναπείθοντα πρός τήν τῶν κρειττό-
νων παραδοχήν ἐντεῦθεν μέν τοιαῦτ' ἄττα τῶν φυσικῶν δημι-
ουργῆσαι, πρός ὧν τούς λόγους καί τάς αἰτίας μηδ' ἐντυγχάνειν
ἐξισχύουσιν οἱ καθ' ἑαυτῶν φρυαττόμενοι. διά τί γάρ ἐπί τῶν
ὑπερφυῶν γνῶσιν ζητοῦσιν οἱ τά ἐν ποσίν ἀγνοοῦντες, πότερον
ὡς ἀδυνάτων ὄντων καί ἀνυποστάτων οὐ παραδέχονται τήν πίστιν;
οὐκοῦν τῶν δυνατῶν τούτων καί ὑφεστηκότων τήν γνῶσιν ἐπάλω-
σαν καί συγχωρήσομεν αὐτοῖς κατ' αὐτούς τά κρείττονα λόγου,
μηδ' ὅλως ἐν τοῖς οὖσιν ὑφεστηκέναι. εἰ δ' ἄτοπον ἀναιρεῖσθαι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὰ πάντα, διότι τοῖς ἀρχετύποις ἠπίοις φαντάσμασιν ἀγνοοῦνται, ἀλογώτερον ἔτι τὰ ὑπερφυῆ ταῦτα μυστήρια ἐκ μέσου γίγνεσθαι, διότι τοῖς ἠπιόφροσι τούτοις καὶ τοῖς φαινομένοις καὶ αἰσθητοῖς τὸν νοῦν ἐμπεπορπημένοις ἀγνοεῖται. ἀλλ' ὥσπερ πιστεύουσι πρότερον, ὧν τὴν φύσιν ὕστερον ἐκδιδάσκονται, οὕτω πιστευσάτωσαν καὶ ὧν ἀγνοοῦσι τὴν φύσιν, ὥσπερ πολλοῖς τῶν κατὰ φύσιν πάντη ἀνθρώποις ἀγνώστοις ὄντων, οὕτω καὶ τοῖς τοιούτοις μυστηρίοις ἀνθρώποις μὲν πᾶσιν ἀγνώστοις μόνῳ δὲ γνωστοῖς τῷ θεῷ τῷ μόνῳ δημιουργῷ καὶ ἀριστοτέχνῃ. τί δ' ἂν εἴποιεν ὁπόταν καὶ τοιαῦτά τινα ἀπ' αὐτῶν ἤδη τῶν κατὰ φύσιν προλάβοιεν ὑποδείγματα πρὸς τὴν τῶν κρειττόνων καὶ τῶν ὑπὲρ φύσιν καὶ λόγον[1] ποδηγετοῦντα παραδοχήν, καθάπερ καὶ ἐπὶ τοῦ πεπυρακτωμένου σιδήρου ἐλέγετο καὶ τοῦ ἡλίου καὶ τοῦ ἀνθρωπίνου λόγου καὶ τῶν ὁμοίων. ἐγκατέσπειρε γὰρ ὁ θεὸς τῇ φύσει τῶν ὑπερφυῶν ἀπεικονίσματα, ἵνα κατὰ τὸν ἀπόστολον τὰ ἀόρατα καὶ ὑπερφυῆ καὶ ἀκατανόητα μυστήρια τοῦ θεοῦ τοῖς ποιήμασι καὶ διὰ τῶν ποιημάτων νοούμενα ἀμηγέπη κατανοήσωμεν (Ῥωμ. α' 20) ἀνιχνεύοντες, ἀπὸ τῶν ὁρωμένων τε καὶ γινωσκομένων ἐπὶ τὰ

Βασ. Καππ. να'.

[1] λόγου.

ἀόρατα καὶ ὑπὲρ λόγον ὁδηγούμενοι. εἰ καὶ τοίνυν συνεθίζει, ὡς εἴρηται, πανταχόθεν ἡμᾶς ὁ θεὸς πρὸς τὴν τῶν κρειττόνων καὶ ὑπὲρ λόγον παραδοχὴν ἀπὸ τῶν ἐν τῇ φύσει γνωστῶν καὶ ἀγνώστων, ἀλλ' ἔμοιγε κρεῖττον εἶναι δοκεῖ καὶ καθ' ἑαυτοὺς ἁπλῇ τινι καὶ ἀπεριέργῳ τῇ πίστει τὰ τῆς εὐσεβείας μυστήρια παραδέχεσθαι. οὐ γὰρ μόνον φιλοσοφίαν ἐπαγγελλόμεθα ἀλλὰ καὶ εὐσέβειαν ἐπιγραφόμεθα. ὥσπερ δὲ φιλοσόφου ἴδιον τὸ μηδὲν ἄνευ λόγου καὶ ἀποδείξεως παραδέχεσθαι, μηδὲν δὲ ἁπλῶς μετὰ πίστεως, οὕτω καὶ τοῦ εὐσεβοῦς ἴδιον τὰ πάντα μετὰ πίστεως παραδέχεσθαι καὶ μηδὲν ἁπλῶς μετὰ λόγου καὶ ἀποδείξεως παραφυλάττων τὸν ὅρον καὶ λόγον τῆς εὐσεβείας διὰ τὸ ὑπὲρ λόγον εἶναι καὶ ὑπὲρ κατάληψιν τὰ τῆς εὐσεβείας μυστήρια, πίστει δὲ μόνῃ [καταλ]ηπτά. εἰ τοίνυν καὶ αὐτοὶ μὴ μόνον φιλοσοφεῖν μέλλομεν ἀλλὰ καὶ εὐσεβεῖν, ὥσπερ τὰ τῆς φιλοσοφίας δόγματα στέργομεν μετὰ λόγου καὶ ἀποδείξεως, οὕτω καὶ τὰ τῆς εὐσεβείας ἀποδε- p.159c ξώμεθα μετὰ πίστεως. ἐὰν οὖν ἐγὼ ἀδιστάκτως πιστεύσω τῇ ἀληθείᾳ καὶ μὴ εἰδὼς τὰ ὑπὲρ ἐμέ, ... ἐμμερεῖ καυχήσομαι τῇ πίστει καὶ μακαρισθήσομαι μετὰ τῶν ἄλλων πιστευσάν-

τῶν δέ· ἐάν δὲ ἀπιστήσω διά τὴν ἄγνοιαν τί μοι κέρδος μετά τῶν ἀπίστων κατακριθησομένῳ; "ὁ δὲ γάρ πιστεύσας, φησί, καί βαπτισθείς σωθήσεται", οὐχ ὁ γνούς καί καταμαθών, "ὁ δὲ ἀπιστήσας κατακριθήσεται", οὐχ ὁ ἀγνοήσας καί μὴ συνείς διά τό ὑπέρ λόγον εἶναι καί ὑπέρ κατάληψιν, ὡς εἴρηται, τά τῆς εὐσεβείας μυστήρια. οὐκοῦν ἀμφότερα ξύν τῷ καλῷ μετατέον καί λόγον ζητεῖν ἐν οἷς ἐγχωρεῖ, καί πίστιν ὁμοίως ἐν οἷς ὁ λόγος συνεκφεύγεται· οὔτε γάρ πᾶσι πιστεύειν ἁπλῶς ἀκίνδυνον, ὥστε καί τοῖς ψευδέσι καί ἀπιθάνοις, οὔτε λόγον ἐν πᾶσι ζητεῖν, οὕτως ὥστε εἴ τι κρεῖττόν ἐστι λόγου τοῦτο μηδέ εἶναι ὅλως ὑποτοπάζειν· ἀλλ' ἐν οἷς μὲν ἡ φύσις τῶν πραγμάτων ἐπιδέχεται λόγον, τά τοιαῦτα λογικῇ συνέσει κρίνειν καί δοκιμάζειν καλόν, εἰ μή καί μᾶλλον εἰπεῖν ἀναγκαῖον τοῖς γε νοῦν ἔχουσιν, ἵνα μή καί τοῖς τυχοῦσιν ὑποπέσωμεν δόγμασιν, ὥστε καί τοῖς τῶν αἱρετικῶν ὕθλοις, ἐν οἷς δὲ τά πράγματα κρείττω ἐστίν ἤ κατά λόγον ἐν τούτοις ἡγείσθω[1] μέν πίστις, οὐχ ἁπλῶς δέ, ἀλλά καί ταῦτα μετά τῆς προσηκούσης δοκιμασίας παραδεκτέον, οἷόν τι λέγω· ἐπειδή παρά πᾶσι τοῖς πιστεύουσιν ἅπαξ

Ἰω. ι' 29.

Μαρκ. 16, 16.

[1] ἡγείτω.

προεξομένοις ὁμολογεῖται κοινῶς ἡ διαγραφή, παλαιά τε καὶ νέα καὶ ἐνίζανε λόγῳ, ὅσα ἡ καθ' ἡμᾶς ἁγία τοῦ Χριστοῦ ἐκκλησία κοινῇ πρεσβεύει ἐγγράφως ἢ ἀγράφως (Βασιλ. περὶ τῶν ἀγράφων τῆς ἐκκλησίας νομίμων κεφ. κζ' πραξ. 15,4.) παραδεξαμένη παρὰ τῶν ἁγίων πατέρων, ὡς προύργου τῶν ἁγίων ἀποστόλων καὶ αὐτοῦ τοῦ Χριστοῦ καὶ ταῦτα μετὰ τοσαύτης δοκιμασίας τε καὶ ἐπισκέψεως τοσούτων καὶ τηλικούτων συνόδων, σημειοφόρων τε καὶ θεοσόφων καὶ πνευματοφόρων πατέρων δοκιμάζειν ἔργα πιστευθησόμενα. καὶ εἰ μὲν τῶν τοιούτων εἰσὶ δογμάτων, ὧν ἡ ἁγία τοῦ Χριστοῦ ἐκκλησία κοινῇ πρεσβεύει, ταῦτα πάντα εἰ καὶ κρείττονα τύχῃ λόγου ὄντα, ὅμως ἀναμφιλέκτως ὡς ἀληθῆ πιστευτέα τε καὶ ἀποδεκτέα. ἐὰν δέ τινα παρὰ ταῦτα πάντα φωραθῶσιν ὡς γνωστά, τὰ τοιαῦτα πάντα φευκτέα τε καὶ ἀποπεμπτέα κἂν τισι ὡς πανάληθέστατα εἶναι δόξωσιν.

1 καί.

ἀλλὰ ταῦτα μὲν καὶ ἐν Βλαχίᾳ διατρίβοντι, ὅθεν καὶ γέγραφας ἡμῖν
τὴν ἐπιστολὴν Ἰανουαρίῳ ιβ΄ καὶ οὐχ ὡς ἐν πόλει μουσῶν, ὅθεν καὶ πέ-
πομφας ταύτην ἐγχειρισθεῖσαν ἡμῖν Σεπτεμβρίῳ ιη΄ (ἵνα μὴ καὶ
αὐτοὶ δὴ γλαῦκα εἰς Ἀθήνας φωραθῶμεν ἐμπορευόμενοι) περὶ
τοῦ προκειμένου πολυμόρφου προβλήματος ἐν θεῷ συλλαμβάνοντι
τοσαῦτα ὡς ἐξεργαστικώτερον ἐπῆλθεν εἰπεῖν, καὶ εἰ μέν τι κατὰ
σκοπὸν[1] εἴρηται, τῷ θεῷ χάρις, εἰ δὲ μή, δῆλον ὡς ἡμέτερον τὸ ἁμάρ-
τημα καὶ συγγνώμην αἰτοῦμεν τῆς ἀσθενείας καὶ ἀμαθίας, καὶ εἴ τι
παράχορδον[2] εἴρηται, διορθοῦτε[3] παρακαλοῦμεν. σὺ δέ μοι, τέ-
κνον ἐν Χριστῷ περιπόθητον, μηκέτι τοῦ λοιποῦ τοῖς τοιούτοις συντάχθη-
Κορ. Α΄ 15.33. τι ἐπηρεασταῖς, ὡς "ὁμιλίαι κακαὶ φθείρουσιν ἤθη χρηστά", καὶ ῥεμ-
βασμὸς ἐπιθυμίας", καὶ τοιούτων περιέργων σκεμμάτων[4], "μετα-
Σοφ. Σολ. δ΄ 12. λλεύει νοῦν ἄκακον", ἀλλ' ἀσφαλῶς ἔχε περὶ τὰ τοιαῦτα τῆς
ἀκραιφνοῦς ἡμῶν πίστεως, ἤτοι κατὰ τὸν οὐρανοφάντορα ἐν τῷ
φ. 160α περὶ πίστεως λόγῳ, [πῶς] "συγκατάθεσις ἔστω ἀδιάκριτος τῶν
ἀκουσθέντων ἐν πληροφορίᾳ τῆς ἀληθείας" τῶν κηρυχθέντων θεοῦ

1 κατάσκοπον. 2 παραχορδήν. 3 διορθοῦται. 4 βασκανία γὰρ φαυλό-
τητος .... καὶ ῥεμβασμὸς παραλόγων ζητημάτων Β.

χάριτι. καὶ κρεῖττον ἂν εἴη μετὰ τῶν ἀπεριέργως πιστευόν-
των, ὡς εἴρηται, μακαρίζεσθαι, ἢ μετὰ τῶν περιέργως ζητούν-
Κορ. β', ε' 7. των ἐπιτιμᾶσθαι, μηδὲ διδαχαῖς ποικίλαις καὶ ξέναις περι-
Ἑβρ. ιγ' 9. φερώμεθα· καλὸν γὰρ χάριτι βεβαιοῦσθαι τὴν καρδίαν.
Ἰω. κ' 25,29 μηδ' εἴπωμεν καὶ αὐτοὶ μετὰ τοῦ διδύμου: "ἐὰν μὴ ἴδω, οὐ
μὴ πιστεύσω", ἵνα μὴ καὶ αὐτοὶ κατ' ἐκεῖνον οὐ μόνον ἐπιτιμη-
Λουκ. κδ' 11. θῶμεν, ἀλλὰ μηδὲ τῆς αὐτοψίας ἀξιωθῶμεν. πολὺ γὰρ τὸ μέ-
σον τοῦ τε Θωμᾶ καὶ ἡμῶν καὶ τοῦ νῦν καὶ τοῦ κατ' ἐκεῖνον και-
ροῦ, μηδ' ἀπιστήσωμεν τοῖς θεασαμένοις προεγνωκόσι καὶ
Μαρκ. ις' 11,14 παραδεδωκόσι, μήποτε οὐ μόνον ὀνειδισθῶμεν ἀπιστίαν ὁ-
μοῦ καὶ σκληροκαρδίαν, ἀλλὰ μηδὲ τῆς αὐτοψίας καὶ γνώ-
σεως τῶν ζητουμένων ἐπιτύχωμεν· ἐκείνοις μὲν γὰρ ἀποστό-
λοις οὖσιν ἀναγκαῖον ἦν ἴσως ἡ αὐτοπρόσωπος γνῶσις διὰ τὸ
κήρυγμα, ἡμῖν δὲ πίστις ἀναγκαία πρὸς σωτηρίαν. οὕτω μὴ
εἴπωμεν κατὰ Λουκᾶν καὶ μετὰ Κλεώπα: "ἡμεῖς δὲ ἠλπίζομεν
Μαρκ. ις' 16 ὅτι αὐτός ἐστιν ὁ μέλλων λυτροῦσθαι τὸν Ἰσραήλ", ἵνα μὴ
Λουκ. κδ' 21,25,27 αὐτοὶ ὡς ἀνόητοι καὶ βραδεῖς τῇ καρδίᾳ τοῦ πιστεύειν ἐπὶ πᾶ-
σιν, οἷς ἐλάλησαν οἱ προφῆται καὶ ἐκήρυξαν οἱ ἀπόστολοι καὶ μετ'

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐκείνους οἱ θειότατοι πατέρες παραδεδώκασι, κατηγορηθῶμεν,
ἀλλὰ μηδὲ τῆς ἀπὸ τῶν θείων γραφῶν τῶν ἀμφισβητουμένων πιστώ-
Κορ. α' 18,20 σεως εὐπορήσωμεν, μηδὲ κατά τι γνώσομαι τοῦτο, ἢ ἐκεῖνο, μη-
δέποτε οὐ μόνον ἀφωνίαν εὐσεβείας καταδικασθῶμεν, ἀλλὰ μηδὲ
τοῦ λοιποῦ λαλεῖν ἔτι συγχωρηθῶμεν· οὐ γὰρ καὶ αὐτοὶ προφῆται,
οὐδὲ πατέρες ἐσμὲν προφηταί· πάντας μὲν γὰρ ἀδύνατον αὐτόπτας
καὶ ἵστορας γενέσθαι τῶν ὑπερφυῶν τούτων μυστηρίων· πάντας γε μὴν
ἀναγκαῖον σωθῆναι πιστεύσαντας. πιστεύσωμεν οὖν καὶ αὐτοὶ ὡς ὁ
...ιε' 6. Ρωμ. ...19.22. Γαλ. γ' 6. Ἀβραάμ ἵνα λογισθῇ καὶ ἡμῖν εἰς δικαιοσύνην δικαιουμένοις διὰ
...ιβ' 38 Κορ. Α' τῆς πίστεως· ἡμῖν γὰρ οὔτε κατὰ Ἰουδαίους ἐπιτέτραπται σημεῖον
...21. Πράξ. ιζ' 18,32 αἰτεῖν εἰς πίστιν, οὔτε καθ' Ἕλληνας σοφίαν εἰς ἀπόδειξιν, ἀλλ' ἁπλῶς
καὶ ἀπεριέργως πιστεύειν καὶ κηρύσσειν κατὰ τὸν μακάριον Παῦλον
Ἰησοῦν Χριστὸν καὶ τοῦτον ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον,
Ἕλλησι δὲ μωρίαν, τοῖς δὲ κλητοῖς ἡμῖν Χριστοῦ δύναμιν θεοῦ
...η' 8,10,13. καὶ θεοῦ σοφίαν. πιστεύσωμεν ὡς ὁ ἑκατόνταρχος, ἵνα καὶ ἡμῶν ὁ
παῖς νοῦς ἰαθῇ κατὰ τὴν πίστιν ἡμῶν. πιστεύσωμεν ὡς ἡ Χανα-
Ματθ. ιε' 28 ναία[1], ἵνα καὶ ἡμῖν ὡς αὐτῇ θέλωμεν γένηται, ἐπειδὴ "πάντα δυνατὰ
Μαρκ. θ' 23. τῷ πιστεύοντι", ἵνα ἰαθῇ καὶ ἡμῶν ἡ παῖς ἡ διάνοια, σχολάσα.

1 Χαναναία καὶ ὡς ὁ λοιπὸς ἅπας τῶν ἁγίων χορὸς Β.

σα καὶ ἀπαλλαγῆσα τῶν τοιούτων ἐθνικῶν καὶ ἑλληνικῶν ζητη-
μάτων τε καὶ ἀφροσυνημάτων· ἐπειδὴ χωρὶς πίστεως, ἡ λέγεται, ἀ-
δύνατον εὐαρεστῆσαι. σὺ δέ μοι ἀνάγνωθι τὸν ἀπόστολον ἐν
κεφ. ια' τῆς πρὸς Ἑβρ. ἐπιστολῆς καὶ γνῶθι ὅσα καὶ οἷα τὰ τῆς πίστε-
ως ἐπιδείκνυται κατορθώματα, ὧν τἀναντία πάντως τοῖς μὴ πι-
στεύουσι παρακολουθήσει. πιστεύσωμεν οὖν καὶ αὐτοὶ ἀνενδοια-
στως πᾶσι τοῖς τῆς εὐσεβείας δόγμασι καὶ ἀσφαλέστατα πάντα
Λουκ. α' 2. παραδεξώμεθα καθὼς αὐτὰ παρέδωκαν ἡμῖν οἱ ἀπ' ἀρχῆς
160β αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου τοῦ Εὐαγγελίου· μέχρι
γὰρ τίνος οὐ λήξομεν λογομαχοῦντες περὶ τῶν ἐν τοσαύταις ἐ-
τῶν χιλιάσι τοσαυτάκις καὶ ὑπὸ τοσούτων καὶ τηλικούτων συν-
ετωτάτων ἀνδρῶν ἡρώων φιλοπονώτατα καὶ θειότατα ἐξετασθέντων
δογματισθέντων τε καὶ ἀποφανθέντων, καὶ εἰς ἀεὶ τῇ τοῦ Χριστοῦ ἐκκλη-
σίᾳ διαμένειν ἀπαραιτήτως τοῦ λοιποῦ καὶ ἀνεξαλείπτως παρα-
δοθέντων τηρεῖν τε καὶ διασώζειν καὶ ἀναμαρτήτως τούτοις χρωμέ-
νους τοὺς εὐσεβεῖν αἱρουμένους καὶ τῆς ἑαυτῶν σωτηρίας ἀντιποι-
ουμένους πρὸς τὴν τῆς ἀληθείας ἐπίγνωσιν καὶ πρὸς τὴν τοῦ Θεοῦ
Ψαλμ. ριη' 104 εὐαρέστησιν ὁδηγεῖσθαι. "λύχνος γάρ, φησί, τοῖς ποσί μου ὁ νόμος
Ησ. κϛ' 9. σου καὶ φῶς ταῖς τρίβοις μου." καὶ πάλιν "ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦ-
μά μου πρὸς σέ, ὁ Θεός, διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς

Ματθ. ε' 13 καὶ ὁ κύριος ἐν Εὐαγγελίοις, "ὑμεῖς, φησίν, ἐστὲ τὸ φῶς τοῦ κό-
Ἰω. ιβ' 35. σμου" καὶ "περιπατεῖτε, φησίν, ἕως τὸ φῶς ἔχετε, ἵνα μὴ σκοτί-
α ὑμᾶς καταλάβῃ, καὶ ὁ περιπατῶν ἐν τῇ σκοτίᾳ οὐκ οἶδε ποῦ ὑ-
πάγει". αὕτη γάρ ἐστιν, ὡς ἐλέχθη καὶ ἀνωτέρω ἐν παροιμίαις, ἡ
πάρεδρος τοῦ θρόνου τοῦ θεοῦ σοφία, ἥτις συμπαροῦσα τοῖς
πιστοῖς αἱρουμένοις δικαίοις τούτοις ἅτινά ἐστιν εὐάρεστα
τῷ θεῷ καὶ ὁδηγεῖ τούτους ἐν γνώσει. μὴ οὖν κιβδηλευέσθω λογι-
σμοῖς ἀνθρωπίνοις τε καὶ δόλοις, μηδὲ καταχραινέσθω ἐπινοί-
αις ἐπισφαλέσιν. ἀρκεσθῶμεν, ὡς εἴρηται, τῇ πολυχρονίῳ τε καὶ
καὶ ἀκριβεστάτῃ παρὰ τῶν θείων ἐκείνων ἀνδρῶν συζητήσει τε
καὶ παραδόσει, ἵνα μὴ καὶ χώραν ὅλως δῶμεν τοῖς ἐπηρεάζειν
ἐθέλουσι καὶ ἐξαπατᾶν γλιχομένοις τὰς τῶν ἀκεραιοτέρων
ψυχάς, ἵνα μὴ καὶ ποινὰς ἐνδίκως ἀπαιτηθῶμεν τῆς αὐθα-
δείας καὶ ὑπεροψίας. ἀλλ' ἐπειδὴ τῆς πνευματικῆς ταύτης
Παρ. α' 7. καὶ θεοπαραδότου σοφίας ὁ τοῦ θεοῦ φόβος ἐστὶν ἀρχή, κατὰ
τὸν θεόσοφον Σολομῶντα, εὐλαβηθῶμεν καὶ ἡμεῖς ὅσοι τὴν
εὐσέβειαν ἐπιγραφόμεθα, τὸ ὑπέρογκον καὶ ὑπεραναβεβη-
κὸς τῆς πνευματοφόρου ταύτης διδασκαλίας, καὶ μὴ κατατολ-
Παρ. γ' 14, 18. μήσωμεν ὑπεράλλεσθαι τὰ ἐσκαμμένα καὶ μεταίρειν ὅρια
αἰώνια, κατὰ τῶν καθ' ἡμᾶς καὶ τῶν ἀλλοτρίων τε παρεγγυῶν-

Παρ. ιβ΄ 28 τρέχειν τῇ ἀληθείᾳ, ὅτι φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ
Ἰω. ε΄ 39. ζῶντος, ἀλλὰ τοῦτο μόνον τὰς θείας ἐρευνῶμεν καὶ ἁγίας γραφάς, ἐν αἷς εὑρήσομεν κατὰ τὴν θείαν ἀπόφασιν τὴν ὄντως ζωήν.

Ἀλλὰ ταῦτα μὲν εἰς τοσοῦτον, σὺ δέ μοι, τέκνον ἐν Χριστῷ περιπόθητον, μὴ ἐπιλάθου τῆς εὐλογίας ἡμῶν, ἱερεὺς ἐντυγχάνων Θεῷ καὶ μυρίαι σοι καὶ δαψιλεῖς τούτου γε ἕνεκα χορηγηθήσονται παρὰ Θεοῦ ἀμοιβαί. εἴθε δέ μοι γένοιτο καὶ τῆς εὐκταίας σου θέας αὖθις ἐν τῷ παρόντι βίῳ ἀξιωθῆναι. Εὐδαιμονῶν μοι καθ' ἑκάτερον εἰς ἀεὶ διαβιώης καὶ βίον καὶ ἄνθρωπον, ὁσιώτατε.

Τὸν μακαριώτατον καὶ τὰ πάντα θειότατον ἡμῶν αὐθέντην καὶ δεσπότην πανευλαβῶς προσκυνῶ καὶ τὴν θειοτάτην αὐτοῦ ἀσπάζομαι δεξιάν, ἐξ αὐτῆς τὸν ἁγιασμὸν ἀρυόμενος καὶ τῆς αὐτοῦ ἀξιωθείην ποτὲ σεβασμιωτάτης καὶ θέας καὶ ὁμιλίας, καὶ εὐτυχήσαιμι τοῦτο παρὰ Θεοῦ. Πρὸς δὲ καὶ τὸν ἐλλογιμώτατόν μοι [γ]μέγαν [β]διερμηνευτὴν [α]καὶ προσφιλέστατον κύριον Σπαντωνῆν[1] ἀμφοτέραις ἐν Χριστῷ περιπτύσσομαι καὶ τὸν μακαρίως

1 Σπαντωνάκην Β.

φ. 161a αὐτῷ προσφοιτῶσαν χορείαν. Τὸ παρὸν σχέδιον δοκιμαζέτω σου, οὐ δίδε τρόποις ἢ συνέσει, καὶ εἰ σοὶ δοκεῖ κοινολογείτω, εἰ δ' οὔ, σιγῇ παραδότω καὶ τῶν μὴ καλῶς ἐχόντων τὴν ἐπανόρθωσιν ἐν κυρίῳ καὶ δοκιμασίᾳ τῶν περὶ τὰ τοιαῦτα δεινῶν γραφῇ δηλωσάτω· οὐ γὰρ αἰσχυνοίμην ἂν μανθάνειν ἅπερ οὐκ οἶδα, ἵνα μή μοι τὸ εἶναι δοκεῖν ὑπορρέῃ· αἶσχος μή τι μαθεῖν ἐθέλειν, τὸ δ' ἐναντίον αἶνος.

Ὁ ἐλάχιστος ἐν σπουδαίοις καὶ σὸς πολὺ χρηματίσας, εἰ καὶ εὐτελής, ὅμως εἴσω, καθηγητὴς Σεβαστὸς Τραπεζούντιος ὁ Κυμινήτης. αχπζ' Νοεμβρίου κε'. ἀπὸ Τραπεζοῦντος εἰς Κωνσταντινούπολιν.

Ἔνστασις τοῦ μακαριωτάτου μου αὐθέντου καὶ δεσπότου κυρίου κυρίου Δοσιθέου πρὸς δύο τινὰ τῶν ἐμφερομένων ἐν τῷ ἡμετέρῳ σχεδίῳ, καὶ ἀπάντησις πρὸς αὐτόν.

Ἔνστασις.

Εἰς τὸ σχέδιόν σας δὲν εἶναι καλὰ δύο πράγματα, τὸ ἕνα εἶναι ὅπου λέγεις ἀπλῶς, ὅτι δὲν εἶναι καθόλου ἄπειρον τὸ κυριακὸν σῶμα, καὶ εἰς τὸ ἄλλο ὅπου λέγεις τὸ γίνονται τὰ μεταβαλλόμενα καὶ εἰς τὸ αον παραληροῦμεν[1], ὅτι τὸ σῶμα τοῦ Χριστοῦ κατὰ

1 διαιροῦμεν

τὰς διαστάσεις τοῦ ἰδίου σώματος ἂν δὲν εἶναι κατά τι ἄπειρον, ἀλλὰ καθὼς σὺν εὑρίσκεται τὸ αὐτὸ ϗ ὑπὸ ἄλλοις εἴδεσιν, εἶναι κατά τι ἄπειρον. ὅτι ἂν δὲν δοθῇ τοῦτο, ἢ καινὸν σῶμα γίνεται εἰς τὸ μυστήριον, ἢ δὲν εἶναι πραγματικῶς ὁ Χριστὸς ἐν αὐτῷ, ἄτοπα ϗ τὰ δύο ἄτοπα. εἰς δὲ τὸ βον μεταβαλλόμενα εἶναι οἱ ἄρτοι, αἵτινες πάντως γίνονται τὸ σῶμα τοῦ Χριστοῦ. ϗ τὰ μὲν συμβεβηκότα τοῦ μεταβληθέντος ἄρτου φθείρονται ϗ ὑγιᾶ ὑπὸ τῶν ἰδίων ἐναντίων· τὸ δὲ σῶμα τοῦ Χριστοῦ ὑγιαινόντων τῶν συμβεβηκότων τοῦ ἄρτου ϗ τοῦ οἴνου εὑρίσκεται ἐν αὐτοῖς, φθειρομένων δὲ ϗ διαφθαρέντων ἀποβάλλει τὴν παρουσίαν τὸ δεσποτικὸν ϗ τοῦ λοιποῦ οὐκ ἔστιν ἐν αὐτοῖς. (ϗ μετ᾽ ὀλίγα) πάρεστι λοιπὸν ὁ Χριστὸς τῶν συμβόλων ἁγιασθέντων, διαφθαρέντων δὲ τῶν τύπων τῶν συμβόλων ἤτοι τῶν συμβεβηκότων (ϗ τὰ διάμεσου) ἀποβάλλει τὴν παρουσίαν τὸ δεσποτικὸν σῶμα, εἴτε ἐκτὸς εἴτε ἐντὸς τοῦ σώματος διαφθαρῶσιν."

## Ἀπάντησις

Ἅπαξ μὲν οὖν εἰπὼν τὸ αὐτὸ ϗ ἓν ἄτομον ἐστὶ τοιοῦτον,

ἢ.

ὁποῖόν ἐστι ϗ τὸ κυριακόν, εἰ ϗ μάλιστα τεθεωμένον ἂν εἴη
ϗ πνευματικόν, ἤ φησιν ὁ θεῖος ἀπόστολος. ἀλλ' οὖν οὐκ ἐκ-
στήσεταί ποτε τῶν ἀχωρίστων τοῦ σώματος ἰδιωμάτων, φημί
τῆς τε περιγραφῆς ϗ τῶν διαστάσεων, ϗ τοῦ μὴ δύνασθαί ποτε
τὸ αὐτὸ ϗ ἓν ἄτομον ϗ καθ' ἕκαστον μήτοιγε σῶμα τὸ διαστα-
τὸν ϗ περιγραπτόν, ἀλλ' οὐδὲ κἂν ἀσώματον εἴη ϗ ἄϋλον, ἅ-
μα ϗ κατὰ ταὐτὸν ἐν διαφόροις εἶναι τοῦ παντὸς μέρεσιν. τοῦ-
το γὰρ ϗ μόνῳ ἀποκεκλήρωται τῷ πάντων ὑπερῃρημένῳ ἀπει-
φ. 161β ρουσίῳ ϗ ἀπεριορίστῳ ϗ ἀπεριγράπτῳ θεῷ τῷ πανταχοῦ
παρόντι ϗ τὰ πάντα πληροῦντι. πολλῷ δὲ μᾶλλον ἔτι ἀδυνατώ-
τατον, ὁρᾶτε, τὸ αὐτὸ ϗ ἓν σῶμα τοῦ Χριστοῦ, ἅμα ϗ κατὰ
ταὐτὸν διαφόροις εἴδεσιν ὑποκεῖσθαι, ὡς εἶναι τὸ αὐτὸ ἅμα
ϗ κατὰ ταὐτὸν ϗ ἐν οὐρανῷ ἄνω ϗ ἐπὶ γῆς κάτω, ϗ ὑπὸ τὸ ἀν-
θρώπινον εἶδος ὁμοῦ ϗ ὑπὸ τοῖς τοῦ ἄρτου ϗ οἴνου εἴδεσι καὶ
συμβεβηκόσιν. τὸ αὐτὸ γὰρ σῶμα ϗ ἔσται ἐν τόπῳ ϗ οὐκ ἔ-
σται ἐν τόπῳ. ϗ ἔσται ὑπὸ τὸ αὐτὸ εἶδος ϗ οὐκ ἔσται ὑπὸ τὸ
αὐτό, ϗ ἄλλως ἐκστήσεται αὐτὸ ἑαυτοῦ· ϗ ἔσται τὸ αὐτὸ ϗ
οὐκ ἔσται τὸ αὐτό, ὡς συναληθεύειν ἐν ταὐτῷ τὰ τῆς ἀντιφάσε-
ως μόρια τῆς κοινοτάτης ϗ ὁμολογουμένης παρὰ πάντων ἀρχῆς

ἀλλά, φησί, τούτου μὴ δοθέντος τῷ κυριακῷ σώματι κατά τι ἄπειρον, ὥστε τὸ αὐτὸ κατὰ τὸ αὐτὸ πρὸς τῷ οἰκείῳ ἀνθρωπίνῳ εἴδει ἅμα καὶ ἄλλοις εἴδεσιν ὑποκεῖσθαι, τοῦ ἄρτου δηλ. καὶ τοῦ οἴνου, δυοῖν θάτερον ἐξ ἀνάγκης ἕψεσθαι· ἤτοι καὶ καινὸν σῶμα γίνεσθαι εἰς τὸ μυστήριον, καὶ ἐκτὸς τοῦ κυριακοῦ σώματος καὶ ἕτερον οἷον ἐκεῖνο ἐκ νέου γεγεννημένον, ἀλλ᾽ αὐτὸ τοῦτο ἐκεῖνο, ἢ μὴ εἶναι πραγματικῶς τὸν Χριστὸν ἐν αὐτῷ καὶ ἐν οὐρανοῖς ἀεὶ μένοντα καὶ μηδέποτε πραγματικῶς ἐν τοῖς παρ᾽ ἡμῖν ἱερουργουμένοις ὑπάρχοντα καὶ ὑφεστηκότα τῷ μὴ εἶναι δηλ. κατά τι ἄπειρον καὶ διῄρησθαι· ἀλλ᾽ εἰ δεῖ καὶ πάλιν ὀφείλομεν ἐκ τῶν ἀνωτέρω ὑπομνησθῆναι· καὶ οὐκ τὸ κυριακὸν ἐκεῖνο σῶμα τὸ ἅπαξ ἀπαθανατισθὲν καὶ ἀναληφθὲν ἀφ᾽ ἡμῶν εἰς τοὺς οὐρανοὺς καὶ ἐκ δεξιῶν καθῆσαν τοῦ πατρὸς κατέρχεται ἐν ταῖς παρ᾽ ἡμῖν ἐπιτελουμέναις τοῦ μυστηρίου ἱερουργίαις, ὥστε τὸ αὐτὸ ἅμα καὶ κατὰ τὸ αὐτὸ καὶ τοῖς τοῦ ἄρτου καὶ τοῦ οἴνου εἴδεσιν ὑποκεῖσθαι καὶ συμβεβηκόσιν; ἄπαγε· τοῦτο γὰρ καθάπαξ ἀδυνατώτατον ἀποδέδεικται, ἀλλ᾽ ἐκεῖσε μένει ἄχρι τῆς β΄ας τοῦ κυρίου παρουσίας, ὅπερ καὶ ἡμεῖς ὥσπερ ὑπὸ τῆς ἀληθείας ἀναγκα-

ζόμενοι ὑπεσχοήκασι ἀπωτέρω· — εἰ γὰρ οἱ παρ' ἡμῖν μεταβαλλόμενοι ἄρτοι καὶ ὑφ' ἡμῶν μεταλαμβανόμενοι τῶν ἐνταῦθα εὑρισκομένων αὐτοί οὗτοι γίνονται καὶ εἰσί κυρίως σῶμα Χριστοῦ καὶ παρ' ἡμῖν μένοντες, τίς ἔτι χρεία καὶ τῆς τοῦ ἐν οὐρανοῖς ἱδρυμένου σώματος παρουσίας, ὥστε καὶ ἑτέροις παρά τό οἰκεῖον εἶδος ὑποστῆναι; οὐκ οὖν ἐκεῖνο κατέρχεται, ὡς εἴρηται, ἀλλ' ἐκεῖσε μένει. οὐκ μήν τά πολλά ταῦτα παρ' ἡμῖν ἱερουργούμενα καὶ πολλάκις καὶ πολλαχοῦ ἐκεῖσε μεθίσταται, οὐ μὲν, ἀλλά παρ' ἡμῖν μένει καὶ ἐν ἡμῖν, ὡς τοῦτο ὄν, ἤ φασι, τό: "καὶ ἰδού ἐγώ μεθ' ὑμῶν εἰμι πάσας τάς ἡμέρας ἕως τῆς συντελείας", διά τῶν ἐν ἡμῖν ἱερουργουμένων δηλ. μυστηρίων. πρό γάρ τῆς τοῦ ἐν οὐρανοῖς ἱδρυμένου κυριακοῦ σώματος αὖθις εἰς ἡμᾶς παρουσίας, "ὅταν ἔλθη, φησίν, ὁ υἱός τοῦ ἀνθρώπου", ἐν τῇ συντελείᾳ δηλ. τοῦ παρόντος αἰῶνος, ἀλλ' ὁ παρ' ἡμῖν ἱερουργούμενος ἄρτος καὶ οἶνος μεταβάλλονται καὶ γίνονται αὐτό τοῦτο ἐκεῖνο τό ἴδιον σῶμα καὶ αἷμα τό δεσποτικόν, καὶ γίνεται οὐ καινόν ἕτερον οἷον ἐκεῖνο· τοῦτο γάρ ὡς ἀληθῶς ἄτοπον ἦν,
φ. 162α ἀλλ' αὐτό τοῦτο ἐκεῖνο, πλήν οὐχ ἁπλῶς, ἀλλ' οἷον ἦν ἐκεῖνο μέχρι παθῶν καὶ σταυροῦ καὶ θανάτου, ἐφ' ὅσον ἦν δηλ. παθητόν

καὶ θνητόν, ὥστε καὶ σφαγῆναι κάκ τῆς πλευρᾶς αἷμα καταρρυῆναι· οὐ γὰρ καὶ νῦν παθητὸν καὶ ἔναιμον τὸ πανακήρατον τοῦ δεσπότου σῶμα καὶ μεταληπτὸν αὐτοπροσώπως ὑπάρχον, οὕτω γὰρ τὰ ἱερά φασι λόγια· "καὶ ποίησον τὸν μὲν ἄρτον τοῦτον τίμιον σῶμα τοῦ Χριστοῦ σου, τὸ δὲ ἐν τῷ ποτηρίῳ τοῦτο τίμιον αἷμα τοῦ Χριστοῦ σου μεταβαλὼν τῷ πνεύματί σου τῷ ἁγίῳ". ὁρᾷς ὡς οὐχ ἁπλῶς περὶ τοῦ μετὰ τὴν ἀνάστασιν δεσποτικοῦ σώματος ὁ λόγος, τοῦ ἀπαθοῦς καὶ ἀναίμου, ἀλλὰ περὶ τοῦ ἐναίμου ἔτι καὶ παθη(τικ)οῦ καὶ θνητοῦ, τοῦ μέχρι δηλ. τῆς ἀναστάσεως. πάρεστι δὲ καὶ νῦν ὁ Χριστὸς ὑπὸ τοῖς παρ' ἡμῖν ἱερουργουμένοις μυστηρίοις, οὐχ ὅτι ἐστί κατά τι ἄπειρον τὸ πανακήρατον αὐτοῦ σῶμα, ὥστε καὶ ἄλλοις ἐν ταὐτῷ ὑποκεῖσθαι εἴδεσιν, ἄπαγε, τοῖς παρ' ἡμῖν θεωρουμένοις τοῖς τοῦ ἄρτου δηλ. καὶ τοῦ οἴνου συμβεβηκόσι· τοῦτο γὰρ ἅπαξ εἴρηται ἀδύνατον, τὸ αὐτὸ καὶ ἓν ἄτομον σῶμα, ἅμα κατὰ τὸ αὐτὸ ἐν οὐρανῷ τε καὶ ἄνω καὶ κάτω ἐπὶ γῆς ἐν πολλοῖς εἶναι τόποις. καὶ τὸ αὐτὸ ἅμα καὶ ὑπὸ τὸ ἀνθρώπινον εἶδος καὶ ὑπὸ τοῖς τοῦ ἄρτου καὶ οἴνου

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

συμβεβηκόσι τισίν. ὅπερ ἰδιαίτατον μόνου ἐστίν, ὡς εἴρηται, τοῦ ἀπειροδυνάμου καὶ ἀπεριγράπτου Θεοῦ, φημί, τὸ πανταχοῦ ἅμα καὶ ἀεὶ παρεῖναι, ἀλλ' ὅτι τὰ παρ' ἡμῖν ἱερουργούμενα μεταβάλλεται καὶ γίνεται αὐτὸ τοῦτο ἐκεῖνο τὸ κυριακὸν σῶμα τὸ μέχρι σταυροῦ καὶ θανάτου παθητὸν ἤδη καὶ ἔναιμον ὄν, καθάπερ καὶ τὰ τῆς ἱεροτελεστίας ἀναφανδὸν ἐκδιδάσκουσι, ἀπὸ γεννήσεως ἀρξάμενα καὶ μέχρι σταυροῦ λήγοντα καὶ θανάτου, ὥσπερ δὴ καὶ ὁ ἐκ Δαμασκοῦ ἀσφαλογράφος ἐπιβεβαιοῖ λέγων· "εἶτα ὑψοῦται ἐν ταῖς χερσὶ τοῦ ἀρχιερέως καὶ ἐπὶ σταυροῦ καὶ διαδίδοται τεμνόμενον καὶ ἐν ἡμῖν ἐνθάπτεται καὶ συναφθαρτίζει ἡμᾶς"· τοῦτο γὰρ ἐστι τὸ πέρας τῆς οἰκονομίας. ἀλλ' ἐπειδὴ αὐτὸ τοῦτό ἐστι τὸ καὶ ταφὲν καὶ ἀναστὰν καὶ ἀναληφθὲν καὶ ἐν δεξιοῖς καθῆσαν τοῦ Θεοῦ καὶ Πατρός, πάντως αὐτὸ τοῦτο ἐκεῖνό ἐστι καὶ τὸ παρ' ἡμῖν ἱερουργούμενον καὶ εἰς ταὐτὸ τοῦτο ἐκεῖνο μεταβαλλόμενόν τε καὶ μεταλαμβανόμενον καὶ οὐχ ἕτερον· τῷ γὰρ ὑποκειμένῳ καὶ κατὰ τὴν οὐσίαν ἐστὶ τὸ αὐτὸ τοῦτο ἐκεῖνο καὶ οὐχ ἕτερον οἷον ἐκεῖνο. οὐ μὴν δὲ καὶ ταῖς ἐπιθεωρουμέναις ποιαῖς σχέσεσιν, ἐπι-

ἠθικαῖς τε τοῦ ἄρτου καὶ οἴνου διαφοραῖς περιγραφαῖς τε καὶ συμβεβηκόσιν· τὸ γὰρ πρωτότυπον κυριακὸν ἐκεῖνο σῶμα τὸ ἐν τῷ οὐρανῷ τί ἐστι καὶ εἶδος ἔχει τὴν θεανδρικὴν ἐκείνην μορφὴν καὶ ἄναιμόν ἐστιν ἤδη καὶ ἄφθαρτον καὶ ἀπαθὲς καὶ μονονουχὶ ἄυλον καὶ πνευματικόν. τὰ δὲ παρ' ἡμῖν ἱερουργούμενα καὶ τελούμενα τῷ μὲν ὑποκειμένῳ καὶ κατὰ τὴν οὐσίαν, ὡς εἴρηται, εἰς αὐτὸ ἐκεῖνο μεταβαλλόμενα, καὶ αὐτὸ τοῦτο ἐκεῖνο τὸ κυριακὸν καὶ δεσποτικὸν σῶμα, καὶ οὐ καινὸν ἕτερον οἷον ἐκεῖνο, διαφέρουσιν ὅμως ἐκείνου· καθότι ταῦτα παρ' ἡμῖν μένει καὶ ὑπὸ τοῖς συμβεβηκόσιν, ἐπὶ τοῦ ἄρτου καὶ τοῦ οἴνου τελεῖ καὶ παθητά εἰσιν ἤδη καὶ ἔναιμα ὁποῖον ἦν καὶ τὸ πρωτότυπον ἐκεῖνο δεσποτικὸν σῶμα μέχρι σταυροῦ καὶ θανάτου καὶ αὐτῆς τῆς τριημέρου ταφῆς. ἀλλὰ ταῦτα μὲν περὶ
p. 162b τοῦ κατά τε φανταζομένου καὶ ἀπείρου τοῦ κυριακοῦ περιγράπτου σώματος· τοῖς γε εἰδόσιν ἐπὶ τοσοῦτον εἰπεῖν ἱκανά, περὶ δὲ τοῦ πῶς ποτε γίνονται τὰ μεταβαλλόμενα, ὡς αὐτὸ κατὰ συναρπαγὴν ἐξελάβετε τὰ μεταβαλλόμενα ὡς ἡμεῖς ἐν ἐκείνοις ὡς ἐξέτασιν ὑποθέμεθα ὁποίως τε καὶ ἀναχωροίη τὸ παρ' ἡμῖν ἱερο-

γούμενον κυριακὸν σῶμα, ἢ φανῇ, μετὰ τὴν τῶν συμβεβηκότων διάχυσιν ἐξ ἡμῶν μεταστάν, οὐκ οἶδα· οὔτε γὰρ ἂν ὑποτοπάσαιμι εἰς τὸ πρωτότυπον ἐκεῖνο τὸ ἐν οὐρανοῖς ἱδρυμένον κυριακὸν τοῦ δεσπότου σῶμα χωρεῖν, τὸ ἐν ἡμῖν ἐπὶ γῆς ὂν καὶ παθητὸν καὶ ἔναιμον καὶ μεταληπτὸν καὶ ὑποκείμενον τοῖς τοῦ ἄρτου καὶ οἴνου συμβεβηκόσι· ποῦ δ' αὖ ἀλλαχόσε χωρήσειεν ἐξ ἡμῶν μεταστὰν εἰς τὸ μὴ ὂν μὴ χωροῦν οὐκ οἶδα· ἢ δῆλον ὅτι παρ' ἡμῖν μένει καὶ μετὰ τὴν διάχυσιν τῶν συμβεβηκότων, ὥσπερ καὶ πρότερον ἦν μετὰ τῶν ὑγιαινόντων συμβεβηκότων ὁ εἰπών "καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος, ὥσπερ δὴ καὶ μετὰ τὴν συντέλειαν τοῦ αἰῶνος ἀναφανδὸν εἰς ἀπεράντους αἰῶνας· ὥσπερ δὴ καὶ μετὰ τὴν συντέλειαν τοῦ αἰῶνος ἀναφανδὸν εἰς ἀπεράντους αἰῶνας. ἐκτὸς δὲ τῶν συμβεβηκότων διαφθαρέντων οὐ συνδιαφθείρεται τούτοις, οὔτε μὴν εἰς τὸ μὴ εἶναι χωρεῖ τὸ ὄν, ἀλλὰ συνέχεται καὶ μένει ἀσφαλῶς εἰς ἕν, τῷ ἓν εἶναι τὸ παναγιώτατον τοῦ δεσπότου σῶμα, καὶ μίαν εἶναι τὴν τοιαύτην θυσίαν καὶ οὐ πολλάς· ὅπερ καὶ αὐτὸς ἐπιβεβαιοῖ ὁ αὐτουργὸς τοῦ μυστηρίου Χριστός· ὁ τρώ-

γων μου τὴν σάρκα, φησί, καὶ πίνων μου τὸ αἷμα", οὐκ εἶπεν ἐκδέχεταί με ὑγιαινόντων τῶν συμβεβηκότων καὶ ἀποβάλλει διαφθαρέντων. ἀλλ' αὐτός τε, φησί, ἐν ἐμοὶ μένει· ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν, κἀγώ, φησί, μένω ἐν αὐτῷ. εἰ γὰρ μένει ἐν ἡμῖν ὁσιῶν διὰ τῆς ἱερᾶς μεταλήψεως καὶ ἐν ἡμῖν οἰκεῖ καὶ μονὴν ποιεῖται, οὐκ ἀναχωρεῖ ἀφ' ἡμῶν πάντως τῶν συμβεβηκότων διαφθαρέντων, ἀλλὰ συμπαραμένει διὰ τέλους. καὶ εἷς ὢν καὶ θεὸς ὁ Χριστὸς πάντας εἰς ἑαυτὸν καὶ ἐν αὐτοῦ σῶμα ἑνοῖ καὶ θεουργεῖ τοὺς ἀξίους, ὃν τρόπον καὶ ἅπαντες εἷς ἐσμεν ἐν Χριστῷ, τῇ θείᾳ ἡμῶν κεφαλῇ[1], ἄχρι συντελείας τοῦ αἰῶνος, ὅτε καὶ οἱ δίκαιοι διὰ τῆς τοιαύτης θεουργίας ἤδη ἀνακεκραμμένης ἐκλάμψουσιν ὡς φωστῆρες καὶ διαυγέστατα ἔσοπτρα, τὸ ἀρχέτυπον κάλλος ἐν ἑαυτοῖς περιφέροντες, οἱ δὲ ἁμαρτωλοὶ εἰς τὸ σκότος ἀποπέμπονται τὸ ἐξώτερον, οἱ σκοτεινοὶ πρὸ τὸ φῶς, ὡς ὑστερημένοι τῆς τοιαύτης θεουργίας τε καὶ λαμπρότητος. συνᾴδει δὲ τοῖς εἰρημένοις καὶ ὁ θεῖος ἐκ Δαμασκοῦ Ἰωάννης, ἐν οἷς ὁ λόγος

[1] τὴν θ. ἡ. κεφαλήν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αὐτῷ περὶ τοῦ ἀχράντου σώματος τοῦ κυρίου ὃ μεταλαμβάνομεν. Λαβὼν γάρ, φησίν, ἄρτον καὶ ποτήριον ἐξ οἴνου καὶ ὕδατος εὐχαριστήσας καὶ εὐλογήσας καὶ εἶπεν: τοῦτό ἐστι τὸ σῶμά μου, καὶ τοῦτό ἐστι τὸ αἷμά μου· καὶ ἀντὶ τῆς φυσικῆς οἰκονομίας ὁ ἄρτος καὶ ὁ οἶνος σὺν ὕδατι διὰ τοῦ λόγου αὐτοῦ γέγονε σῶμα αὐτοῦ καὶ αἷμα, ὡς ἦν τὸ σῶμα αὐτοῦ πρὸ τῆς ἐκ νεκρῶν αὐτοῦ ἀναστάσεως φθαρτόν, κλώμενον, ἐσθιόμενον καὶ πινόμενον, ἀδιάφθορον μέντοι. ἐπεὶ τίνος ἕνεκεν οὐ μετὰ τὴν ἀνάστασιν τοῦτο πεποίηκεν, ἀλλὰ πρὸ τῆς ἀναστάσεως; ὅτι τὸ διὰ τῆς ἀ-
φ.163ν ναστάσεως ἄφθαρτον σῶμα οὔτε κλᾶται οὔτε ἐσθίεται οὔτε πίνεται, οὔτε αἷμα τὸ ἄφθαρτον κέκτηται σῶμα, ἀλλ' οὔτε σὰρξ ἂν δικαίως ὀνομάζοιτο, καθώς φησιν ὁ τῆς θεολογίας ἐπώνυμος Γρηγόριος ἐν τῷ εἰς τὸ βάπτισμα λόγῳ. πίστευε Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ ἥξειν πάλιν μετὰ τῆς ἐνδόξου αὐτοῦ παρουσίας κρῖναι ζῶντας καὶ νεκρούς, οὐκέτι μὲν σάρκα, οὔτε ἀσώματον[1] δέ, οἷς οἶδεν αὐτὸς λόγοις θεοειδεστέρου σώματος, ἵνα καὶ

[1] ἀσώματος.

ὀφθῇ ὑπὸ τῶν ἐπιζητησάντων καὶ μείνῃ διὸς ἔξω πασχάλιον. καὶ τοῦτο τοίνυν, ὃ μεταλαμβάνομεν· σῶμα καὶ αἷμα τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, φθαρτόν ἐστι θλώμενον, καὶ εὐχιζόμενον, καὶ ἐσθιόμενον, καὶ πινόμενον". καὶ (φη) κατωτέρω· "οὐ γὰρ ἐξ ἀρχῆς τὸ τοῦ Κυρίου σῶμα ἄφθαρτον γέγονεν, ἀλλὰ φθαρτὸν καὶ παθητὸν ἕως τῆς ἀναστάσεως, μετὰ δὲ τὴν ταφὴν γέγονεν ἄφθαρτον διὰ τῆς θείας αὐτοῦ ἀναλήψεως ἀναστήσας (sic) ἐκ νεκρῶν καὶ συναφθαρτίσας ἡμᾶς". καὶ κατωτέρω· "εἶτα ὑψοῦται ἐν ταῖς χερσὶ τοῦ ἀρχιερέως, καὶ τοῦ σταυροῦ, καὶ διαδίδοται κλώμενον, καὶ ἐν ἡμῖν ἐνδαιτεῖται καὶ συναφθαρτίζει ἡμᾶς· τοῦτο γάρ ἐστι τὸ πέρας τῆς οἰκονομίας· οὐ διαφθείρεται ἐν ἡμῖν, καὶ οὐ διεφθάρη τὸ τοῦ Κυρίου σῶμα ἐν τῷ τάφῳ· ἕως δὲ τῆς ἡμῶν μεταλήψεως πάντα τὰ τῆς φθορᾶς ὑπομένει καὶ κλᾶται ὑφ' ἡμῶν τμηθεὶς καὶ πολλῶν καὶ ὑπὸ ἀνόμων χειρῶν πολλάκις ἀτιμάζεταί τε καὶ ῥίπτεται καὶ ὑπὸ μυῶν καὶ σιτοφάγων, ἀλλ' οὐ διαφθείρεται, οὐδὲ χωρεῖ εἰς τὸ μὴ εἶναι· συνέχεται γὰρ ἀσφαλῶς εἰς ἓν σῶμα κτλ.". Ὁρᾷς οἷόν ἐστιν, ὃ μεταλαμβάνομεν σῶμα, ὅτι οὐκ ἔστιν οἷον τὸ νῦν ἐν οὐρανοῖς σῶμα ἄφθαρτον καὶ ἀθάνατον καὶ ἀπ[illegible]

δὲ καὶ πνευματικόν, καὶ ὅλως οἷον τὸ μετὰ τὴν ἀνάστασιν, ἀλλ' οἷον τὸ πρὸ τῆς ἀναστάσεως παθητὸν καὶ θνητὸν καὶ ἔναιμον καὶ σάρξ καὶ ὅλως ἀνθρώπινον ἔχον ἄνευ διαφθορᾶς, ὅτι οὐ διαφθείρεται οὔτε ὑφ' ἡμῶν μεταλαμβανόμενον, οὔτε ὑπὸ μυῶν βεβρωσκόμενον καὶ σκωλήκων, οὔτε ῥιπτόμενον καὶ φθειρόμενον, ἀλλὰ συνέχεται, φησίν, ἀοράτως εἰς ἓν σῶμα. ῥίπτεται μὲν γάρ, ὡς εἴρηται, πολλάκις καὶ ὑπὸ ἀνόμων χειρῶν καὶ ἀτιμάζεται καθάπερ καὶ ὑπὸ τῶν ἀγνοούντων οἱ πολυτίμητοι λίθοι καὶ μαργαρῖται, ὥς που καὶ ὁ κύριος ἐν εὐαγγελίοις φησί: "μὴ ῥίπτετε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων", οὐ μὴν τῆς οἰκείας ἐξίσταται φύσεώς τε καὶ χάριτος. ὥσπερ δὴ καὶ ὑπὸ μυῶν καὶ σκωλήκων ἀλλ' οὐ διαφθείρεται, οὔτε μὴν ἔστι τὸ μὴ εἶναι χωρίς. τό γε μὴν εἰς ἓν συνέχεσθαι, πῶς εὐσεβῶς νοητέον, ἀλλ' ἢ ὅτι οὐ κατακερματίζεται τῇ κατατομῇ τῶν τοῦ ἄρτου καὶ οἴνου συμβεβηκότων, ἀλλ' ὁλόκληρον διαμένει καὶ ἐν τῷ ἐλαχίστῳ μέρει τοῦ ἄρτου μεταβεβλημένος εἰς σῶμα Χριστοῦ, ὃν τρόπον καὶ ἐν τῷ μεγίστῳ κατόπτρῳ ὁ αὐτὸς καὶ εἷς ἐμφαίνεται ἥλιος καὶ ἐν τῷ ἐλαχίστῳ τούτου μορίῳ, κἂν εἰς πολλὰ καὶ διάφορα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὰ μεγέθει μέρη καὶ μόρια τοῦτο καταμερισθείη. καὶ ὥσπερ ἡ τοῦ ἡλίου ἔμφασις ἐν μὲν τοῖς κατόπτροις καὶ τοῖς ὁμοίοις ἐμφαίνεται προβάλλουσα διὰ τὴν ἐνοῦσαν λειότητά τε καὶ δια-
φ.163ε φάνειαν, ἐν δὲ τοῖς λοιποῖς ἀεὶ προσβάλλει, ὅμως οὐκ ἐνορᾶται ἀνεπιτηδείοις οὖσι πρὸς ὑποδοχὴν τῆς τοιαύτης ἐμφάσεως· οὕτω δὴ καὶ τὸ παρ' ἡμῶν ἱερουργούμενον σῶμα, ὁ νοητὸς μαργαρίτης καὶ ἀκρογωνιαῖος λίθος, εἰ καὶ εἰσέρχεσθαι δοκεῖ τοῖς ἀκαθάρτοις τῶν ζώων καὶ τῶν ἀτόμων ἀνθρώπων ὑπ' αὐτῶν βεβρωσκόμενος, ἢ καὶ ὁπωσοῦν ἄλλως καταφρονούμενος, ὅμως οὐκ ἐνορᾶται τούτοις, οὖσι πρὸς ὑποδοχὴν ἀνεπιτηδείοις, οὔτε μὴν ἐπιγινώσκει τοὺς ἀγνοοῦντας, οὔτε τῆς οἰκείας μεταδίδωσι θεουργίας τε καὶ ἁγιότητος, ἀλλ' οὐδὲ λυμαίνεται ὑπ' αὐτῶν καίτοι λυμαντικῶν ὄντων καὶ ἀκαθάρτων, ὥσπερ οὐδ' ἡ τοῦ ἡλίου ἔμφασις ὅλως λυμαίνεται ἐπιψαύουσα τούτοις ἀχράντως καὶ ἀμολύντως. κἂν δὲ καὶ μυριάκις εἰς διάφορα εἴδη μεταβληθείη κατά γε τὰ συμβεβηκότα δῆλα· ὅμως οὐ συνδιαφθείρεται τούτοις, ὡς εἴρηται. οὔτε μὴν εἰς τὸ μὴ εἶναι χωρεῖ, ἀλλὰ μένει ὅπου ἂν τύχῃ τὰ ἐπιθεωρούμενα τούτῳ συμβεβηκότα συνεχόμενον ἀσφαλῶς

εἰς ἕν, ὡς εἴρηται, σῶμα, μένον αὐτὸ τοῦτο, ὅπερ ἐστὶ σῶμα, κυριακόν, ὃν τρόπον φαίη τις ἂν καὶ τὰς ἡλιακὰς μένειν ἀκτῖνας τε καὶ ἐμφάσεις, ἢ καὶ τὰς ἀπὸ τοῦ αὐτοῦ κέντρου ἐκπεμπομένας γραμμὰς ἐννοουμένας καθ' ἑαυτὰς παρὰ τὸν ἥλιον δηλ. καὶ τὸ κέντρον, ὡς εἶναι πολλὰς μὲν πρὸς ἀλλήλας θεωρουμένας, πρὸς δὲ τὸν ἥλιον καὶ τὸ κέντρον ἑνιζομένας κἀκείνοις καὶ ἀλλήλαις ἐκείνων μενόντων καὶ συναιρουμένας ἐκείνων ἀναιρουμένων. τῶν γὰρ ἀρχετύπων καὶ τῶν πρωτοτύπων ἀναιρουμένων καὶ τὰ ἐκ τούτων πάντως συναναιροῦνται· εἷς γάρ, ὡς ἐλέγετο, ὁ ἐν πᾶσιν ἀστράπτων ἥλιος, καὶ ἕν ἐστι τὸ ἐν πᾶσι τούτοις θεωρούμενον καὶ νοούμενον κυριακὸν σῶμα, ὥσπερ καὶ ἓν τὸ κέντρον εἰς ὅπερ αἱ γραμμαὶ ἀποπεραιοῦνται. τίς οὖν ἐστιν ὑπόνοια λείπεται τοῦ κατά τι φανταζομένου ἀπείρου ἐπὶ τοῦ ἀπαθοῦς ἐκείνου ἐν οὐρανοῖς ἱδρυμένου κυριακοῦ σώματος, ὥστε καὶ διὰ τὴν τοιαύτην ἀνυπόστατον ἀπορίαν κατάγειν ἐκεῖθεν, καὶ ὅπερ τῶν παντάπασιν ἀσυμφανόντων ἐστὶν ἅμα καὶ ὑπὸ τὴν διαιρετὴν ἐκείνην ὑποστῆναι μορφὴν καὶ τοῖς τοῦ ἄρτου καὶ τοῦ οἴνου ὑποκεῖσθαι συμβεβηκόσιν, ὅπερ ταὐτόν ἐστιν εἰπεῖν τοῖς εἴδεσι τοῦ ἄρτου καὶ οἴνου. τὸ γὰρ τὸ πρωτότυπον ἐκεῖνο κυριακὸν σῶμα τοῖς παρ' ἡμῖν ἱερουρ-

γουμένοις ἀθετούντων ἐστὶ τὴν μεταβολὴν τοῦ ἄρτου καὶ τοῦ
οἴνου εἰς σῶμα καὶ αἷμα μεταβολῆς, εἰ μὴ βούλοιμεν δύο κυρια-
κὰ σώματα ὑποστῆναι τοῖς παρ' ἡμῶν ἱερουργουμένοις, τό τε
πρωτότυπον ἐκεῖνο κυριακὸν σῶμα καὶ τὸ ἐκ τοῦ ἄρτου καὶ τοῦ
οἴνου μεταβεβλημένον εἰς σῶμα καὶ αἷμα, ἅπερ καὶ ἀμφότερα τῇ
πάντῃ ἐστὶν ἀτοπώτατον, τό τε δύο σώματα ἐν ταὐτῷ δίδοσθαι
κυριακὰ καὶ τὸ μένειν ἀμετάβλητα τὸν ἄρτον καὶ οἶνον εἰς σῶμα
καὶ αἷμα κυριακόν, ἅπερ καὶ ἀμφότερα διαπέφευγεν ἡ εὐσεβὴς
περὶ τούτων διδασκαλία, ἐῶσα μὲν ἐν οὐρανοῖς τὸ πρωτότυ-
πον ἐκεῖνο κυριακὸν σῶμα, μεταβάλλουσα δὲ τὰ παρ' ἡμῖν ἱε-
φ. 164a ρουργούμενα τὸν ἄρτον καὶ τὸν οἶνον εἰς αὐτὸ τοῦτο ἐκεῖνο τὸ κυ-
ριακὸν σῶμα καὶ αἷμα τὸ ἐν οὐρανοῖς ἱδρυμένον κατὰ τὰς
προρρηθείσας διαφοράς, ὡς πολλάκις εἴπομεν. ἀλλὰ καὶ τὰ πρὸ
τούτου, φησί, τοῦ πώποτε γίνονται τὰ μεταβαλλόμενα πρὸς
τοῖς προρρηθεῖσι, καὶ ταῦτα τοῖς γε εἰδόσιν καὶ τοσοῦτον κατὰ
τό γε νῦν ἔχον ἀπόχρη. εἰ δὲ βούλει καὶ ταῦτα προσκείσθω τοῖς
εἰρημένοις. φὴς γὰρ εἰ μὴ δοθῇ τὸ πρωτότυπον ἐκεῖνο κυρι-
ακὸν σῶμα καὶ τοῖς τοῦ ἄρτου καὶ οἴνου ὑποκεῖσθαι συμβεβη-
κόσι, δυοῖν θάτερον ἕπεσθαι, ἤτοι καινὸν σῶμα δίδοσθαι εἰς

τό μυστήριον ϗ ἐκ νέου ἕτερον οἷον ἐκεῖνο γεγεννημένον, ἀλλ' οὐκ ἐκεῖνο, ἢ μὴ εἶναι πραγματικῶς τοῦ Χριστοῦ ἐν αὐτῷ, ϗ ἰδίᾳ μόνον ἐν οὐρανοῖς μένοντα, ϗ μὴ κατά τὸ αὐτὸ ϗ τοῖς τοῦ ἄρτου ϗ οἴνου ὑφεστηκότα. προσερήσθω δὲ τοῖς εἰρημένοις ϗ ταῦτα εἰς τρανοτέραν διάγνωσιν τῆς ἀληθείας. ὁπόταν οὖν τις ἐνορᾷ τὸν ἥλιον τοῖς κατόπτροις, πότερον οὐκ αὐτὸν ἐκεῖνον ἐνορᾷ τὸν ἀνέκαθεν ἥλιον, ἀλλά καινὸν ἄλλον, ὅτι ἐν ἑτέροις ἐκ νέου ὁρᾷ δηλ. τοῖς κατόπτροις; οὐμενοῦν ἀλλ' αὐτόν, ὃν ἐποίησεν ὁ θεὸς τῇ δ' ἡμέρᾳ. κἂν τὸ θεὸς ὄνομα, διότι ϗ παρ' ἡμῶν λέγεται τῶν μεταγενεστέρων οὐχ ὁ αὐτὸς ἀπ' αἰῶνος ὢν ἐννοεῖται θεός, ὃν ϗ ὁ διάβολος πρῶτος ὠνόμασεν ἐν τῷ παραδείσῳ, τί καινὸν αὐτῷ προσεγένετο; διότι ϗ παρ' ἡμῶν οὕτω καλεῖται τῶν μεταγενεστέρων; οὐχ ὁ αὐτός ἐστιν ὁ πρὸ πάντων ϗ μετὰ πάντων θεός, ϗ ὁ ἐκ νέου μετὰ ταῦτα τοῖς ἀκροαταῖς ἐνηχούμενος λόγος; οὐχ ὁ αὐτὸς οὗτός ἐστιν ὁ προϋπάρχων ἐν τῷ διδάσκοντι ϗ οὐχ ἕτερος; οὕτω μοι νόει ϗ τὸν παρ' ἡμῶν ἱερουργούμενον ἄρτον ϗ οἶνον μετὰ τὴν μεταβολήν, μὴ καινὸν εἶναι σῶμα ϗ αἷμα Χριστοῦ ἐκ νέου γεγεννημένον, ἀλλ' αὐτὸν ἐκεῖνον τὸν ἐκ παρθένου τεχθέντα ϗ τελευταῖον παθόντα ϗ ταφέντα.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κ. ἀναστάντα κ. ἀναληφθέντα κ. ἐκ δεξιῶν καθήσαντα τοῦ θεοῦ κ. πατρός· οὐ μὴν δὲ κ. νῦν τὸν ἐκ δεξιῶν τοῦ πατρὸς ἱδρυμένον τὸν αὐτὸν κ. τοῖς τοῦ ἄρτου κ. οἴνου συμβεβηκόσιν ὑποκεῖσθαι· ἀλλ' ἐπεί τε μένοντα πραγματικῶς ὑπὸ τὴν θεανδρικὴν ἐκείνην μορφὴν κ. τὸν αὐτὸν ὑπάρχοντα πραγματικῶς ἰδίᾳ κ. ὑπὸ τοῖς τοῦ ἄρτου κ. οἴνου συμβεβηκόσιν κατά γε δὴ τὸ ἀνθρώπινον· ὥσπερ γὰρ τὸ περιγραπτὸν τοῦ κυρίου σῶμα, ὅτε ἦν ἐν τῷ κόσμῳ οὐκ ἦν ἐκ δεξιῶν τοῦ πατρὸς ἱδρυμένον, οὕτω κ. νῦν ἐκ δεξιῶν τοῦ πατρὸς ἱδρυμένον οὐκ ἔστιν ἐν τῷ κόσμῳ τούτῳ, ἀλλ' ἐκεῖσε μόνον ἐστὶν ἐν τῷ οὐρανῷ. ἔστι δὲ κ. νῦν ἐν τοῖς παρ' ἡμῖν ἱερουργουμένοις μυστηρίοις ὁ αὐτὸς ὑπὸ τοῖς τοῦ ἄρτου κ. οἴνου συμβεβηκόσιν ἰδίᾳ, ὃν τρόπον ἦν κ. πρότερον ἐν τῷ κόσμῳ μέχρι σταυροῦ κ. θανάτου, ὡς εἴρηται, ὃν τρόπον κ. ὁ αὐτὸς θεὸς ἐννοεῖται κ. ὑπὸ τὸν σχηματισμὸν κ. τὴν μορφὴν τῶν ἑβραϊκῶν ὀνομάτων ἰδίᾳ, κ. ὑπὸ τὸν σχηματισμὸν κ. τὴν μορφὴν τῶν ἑλληνικῶν ὀνομάτων ἰδίᾳ, ἐν ἑκατέροις εἷς κ. μόνος ὢν αὐτός· ὥσπερ κ. ὁ αὐτὸς κ. εἷς ἥλιος κ. ἐν τῷ ἰδίῳ δίσκῳ ἐστὶν ὁ αὐτός, κ. ἐν πᾶσι τοῖς ὑποκειμένοις κατόπτροις ἰδίᾳ ἐμφαίνεται

[. ὁ αὐτός. καὶ

ὁ αὐτὸς ϗ εἷς λόγος ἰδίᾳ ἐστὶν ἐν τῷ διδάσκοντι ϗ ἰδίᾳ ἐστὶν ἐν τοῖς
φ. 164ε διδασκομένοις· ϗ ὁ αὐτὸς ϗ εἷς χαρακτὴρ ἰδίᾳ ἐστὶν ἐν τῷ τυποῦντι πρωτοτύπῳ ϗ ἰδίᾳ ἐστὶν ὁ αὐτὸς ἐν τοῖς ὑπ' ἐκείνου τετυπωμένοις· ἅτινα παραδείγματα ἱκανὰ πεῖσαι ϗ τοὺς ἀπίστους πρὸς τὴν τοιαύτην τῶν φρικτῶν τούτων μυστηρίων διδασκαλίαν. εἰ γὰρ ἐν τοῖς καθ' ἡμᾶς ϗ τοῖς κατὰ φύσιν τοιαῦτά τινα εὑρίσκεται ὑποδείγματα, πρὸς ἃ οὐδ' ἐρυγγάνειν ἔχουσιν οἱ καθ' ἑαυτῶν φρυαττόμενοι, ἔστιν ἐν τοῖς ὑπὲρ φύσιν, ὅπου ὁ θεὸς αὐτὸς ἐνεργεῖ, ᾧ πάντα δυνατὰ ϗ τὰ τῇ φύσει ϗ ἀνθρώποις ἀδύνατα, ἀμφιβολία τις τοῖς τὸν θεὸν παντοδύναμον εἶναι ϗ πιστεύουσι ϗ ἀνομολογοῦσιν, περὶ τοῦ μυστηρίου τῆς θείας εὐχαριστίας, εἰ ἐνδέχεται τὸν αὐτὸν ϗ ἕνα Χριστὸν ϗ θεὸν ϗ ἐν οὐρανοῖς ἱδρῦσθαι ὑπὸ τὴν θεανδρικὴν ἐκείνην μορφὴν ἰδίᾳ ϗ ἐπὶ γῆς ὑπὸ τοῖς τοῦ ἄρτου ἄρτου ϗ τοῦ οἴνου ὑποκεῖσθαι συμβεβηκόσι. ἰδίᾳ ἐκεῖ μὲν ὡς εἴρηται ἀπαθῆ μένοντα ϗ ἄφθαρτον ϗ ἄναιμον ϗ πνευματικόν, ϗ οἷον ὅλως ἔμεινε μετὰ τὴν ἀνάστασιν. ἐνταῦθα δὲ παθητὸν ϗ ἄφθαρτον ϗ ἔναιμον, ϗ οἷον ὅλως ἦν ἀπὸ γεννήσεως μέχρι σταυροῦ ϗ θανάτου. ἐπεὶ ϗ ὅλως

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀδυνατώτατόν ἐστι τὸ αὐτὸ καὶ ἓν σῶμα ἅμα καὶ κατὰ τὸ αὐτὸ τὰ αὐτὰ ὑποκεῖσθαι τοῖς ἐναντίοις, καὶ εἶναι τὸ αὐτὸ παθητὸν ἅμα καὶ ἀπαθές, φθαρτὸν ἅμα καὶ ἄφθαρτον, ἔναιμόν τε καὶ ἄναιμον καὶ ἔσεσθαι, τὸ αὐτὸ μηδὲ ἔχειν ἐν τοῖς οὖσιν ὑπόστασιν. κεῖναι τῷ ἀναιρετικὰ εἶναι ἀλλήλων τὰ ἐναντία. ἅπερ ἄτοπα καὶ ἀδύνατα, ἵνα μὴ τῷ μυστηρίῳ τούτῳ συμβῇ, τὸ ὅθεν ταῦτα συμβαίνει, φημὶ τὸ κατά τι ἄπειρον ἀπὸ τοῦ πρωτοτύπου ἐκείνου κυριακοῦ σώματος προσούργου ἀναφορικόν, ἐντὸς μένοντας τῶν ὅρων τῆς ὀρθοδόξου περὶ τούτων διδασκαλίας. συντόμως φάναι, ἵνα τι καὶ τρανότερον εἴπω, μετέλαβον οἱ ἀπόστολοι καὶ πρὸ τοῦ πάθους τὰ σωτήρια ταῦτα μυστήρια, μεταλαμβάνομεν καὶ ἡμεῖς αὐτὰ μετὰ τὸ πάθος καὶ τὴν ἀνάστασιν, ἑκάτεροι κατὰ ἀναφορὰν πρὸς τὸ πάθος. καὶ πράγματι μὲν καὶ καθ᾽ αὑτὸ τὸ αὐτό, σχέσει δὲ κατὰ συμβεβηκὸς οὐ τὸ αὐτό. οὔτε γὰρ ἐκεῖνοι αὐτοπροσώπως καὶ ἀμέσως ἔφαγον καὶ ἔπιον τὸ σῶμα καὶ αἷμα τοῦ δεσπότου Χριστοῦ, ἀλλὰ τὰ εἰς αὐτὸ ἐκεῖνα μεταβληθέντα, πρὶν ἄρτος ὄντα καὶ οἶνος. κἀκεῖνοι μὲν ὡς παθησόμενον μετελάμβανον τὸν Χριστὸν πρὸ τοῦ πάθους, ἡμεῖς

δὲ καὶ προσπεπονθότα. οὔτε δὲ ἐκεῖνοι ἤδη πάσχοντα μετελάμβανον τὸν Χριστόν, καίτοι παθητὸν ὄντα καὶ παθησόμενον, οὔθ᾽ ἡμεῖς ἤδη παθητόν, καὶ οὐκέτι παθησόμενον, ἀλλὰ μόνον προσπεπονθότα, νῦν δὲ ἀπαθῆ καὶ ἀθάνατον ὄντα καὶ μένοντα. τὰ δ᾽ ἄλλα πάντα κατ᾽ ἀνάμνησιν λέγεται τῶν ἐπὶ τοῦ πάθους ἅπαξ γεγενημένων. οὐ γὰρ καὶ νῦν πάθη καὶ σταύρωσις καὶ τρῶσις πλευρᾶς, καὶ ἐκροὴ αἵματος καὶ ὕδατος καὶ ταφὴ καὶ ἀνάστασις, τὰ ἅπαξ ἐν τῷ παντὶ γεγενημένα. δεῖ οὖν ταῦτα πάντα οὐχ ἁπλῶς φ.165α πιστεύειν, ὡς λέγεται, ἀλλὰ νοεῖν ὀρθῶς ὡς ἔχει γεγενημένα. τότε μὲν οὖν τὸ δεσποτικὸν ἐκεῖνο σῶμα πραγματικῶς ταῦτα πέπονθε πάντα καὶ ἅπαξ, τοῦ λοιποῦ δὲ μετὰ τὴν ἀνάστασιν διαπαντός ἐστιν ἀπαθές. τὰ δὲ νῦν ἱερουργούμενα καὶ εἰς ἐκεῖνο μεταβαλλόμενα καὶ γινόμενα αὐτὸ τοῦτο ἐκεῖνο, καὶ οὐχ ἕτερον οἷον ἐκεῖνο, αὐτὰ ταὐτά εἰσι τὰ δεικνύμενα ἐν ἑαυτοῖς τὴν ἀνάμνησιν τῶν ἐκείνου παθῶν, ἃ καὶ μεταλαμβάνομεν ἡμεῖς καὶ δι᾽ αὐτῶν αὐτὸ τὸ δεσποτικόν, καὶ ἤδη μὲν προσπεπονθός, ὡς ἡ ἀνάμνησις ὑπαγορεύει, νῦν δὲ καὶ αἰεὶ μένον τὸ αὐτὸ μετὰ τὴν ἀνάστασιν ἀπαθές. διὸ καὶ Μιχαὴλ ὁ Γλυκᾶς ἐπιστολῇ πρὸς Ἰωαννίκιον μοναχόν· "εἰ γὰρ καὶ βεβρώ-

σιεύεται, φησί, παρ' ἡμῶν ὁ ἄρτος οὗτος, ὡς ἐν ἀληθείᾳ σάρξ ὑπάρχων αὐτοῦ τοῦ Χριστοῦ, ἀλλ' οὐκ διαφθορὰν ὑφίσταται μετὰ ταῦτα. οὐκ μὴν εἰς κοιλίαν χωρεῖ καθάπερ ἡ συνήθης αὐτη καὶ ῥευστὴ βρῶσις, ἀλλ' ἅμα τῷ βρωθῆναι καὶ ταφῆναι τροπήν τινα παρ' ἡμῖν αὐτοῖς δέχεται, παραπλησίως δηλ. τοῖς ἐπὶ τῇ ἁγίᾳ τοῦ Χριστοῦ σαρκὶ πεπραγμένοις, ἡνίκα θανοῦσα καθ' ἡμᾶς αὕτη τῷ τάφῳ γέγονε κάτοχος, ἀλλὰ διαφθορᾶς ὁ τοιοῦτος ὑπέρτερος ἀκολούθως εἶναι διαγινώσκεται. "οὐδὲ δώσεις γάρ, φησί, τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν". καὶ ἐκ τῶν τοῦ Ἰσιδώρου ἐπιστολῶν: "ὥσπερ τὸ σῶμα τοῦ κυρίου ὑποπεσὸν τοῖς ὀδοῦσι τοῦ ᾅδου φθορὰν μὲν θανάτου τηνικαῦτα ἐδέξατο, διαφθορὰν δὲ θανάτου οὔ. οὕτω καὶ νῦν αὐτὸ τὸ σῶμα τοῦ κυρίου ὑποπεσὸν τοῖς ὀδοῦσι τοῖς ἡμετέροις φθορὰν μὲν θανάτου ὁμοίως ὑφίσταται, διαφθορὰν δὲ οὐ μένον. ἀλλ' ὅθεν ἀσαρκιζόμενον τῇ τῆς ψυχῆς οὐσίᾳ δίδοται, πλὴν οὐ δίδοται μόνον, ἀλλὰ καὶ εἰς αἰῶνα συμπαραμένει ταῖς τῶν δικαίων ψυχαῖς". Χρυσόστομος ἐκ τοῦ εἰς τὸν ἅγιον ἀπόστ. Θωμᾶν πανηγυρ. λόγου: "Μακάριοι ὑμεῖς οἱ καθ' ἑκάστην πανήγυριν ὁρῶντες αὐτὸν καὶ τοῖς ὀφθαλμοῖς προσφέροντες καὶ τοῖς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

στόμασιν ἀσπαζόμενοι καὶ τοῖς ὀδοῦσιν ἐσθίοντες, καὶ μὴ καταναισχύνοντες ἐν ἐσθίειν κτλ." Ἐκ τῆς μς' ὁμιλίας τοῦ αὐτοῦ εἰς τὸν Ἰωάννην "οὐκ ἰδεῖν αὐτὸν μόνον παρέσχε τοῖς ἐπιθυμοῦσιν, ἀλλὰ καὶ ἅψασθαι καὶ φαγεῖν καὶ ἐμπῆξαι τοὺς ὀδόντας τῇ σαρκί, καὶ συμπλακῆναι, καὶ τὸν πόθον ἐμπλῆσαι πάντα". Ἐκ τούτων οὖν τὸ αὐτὸ τοῦτο συνάγεται, ὡς ἡμεῖς οὐκ ἀμέσως καὶ αὐτοπροσώπως τῷ ἐν οὐρανοῖς ἱδρυμένῳ κυριακῷ σώματι τοὺς ὀδόντας ἐμπήγνυμεν, ὅπερ οὐδέποτε ἐπεπόνθει, ἀλλὰ τῷ εἰς αὐτὸ ἐκεῖνο μεταβληθέντι, φαινομένῳ μὲν ἄρτῳ δι' ὅλου, ὄντι δὲ αὐτῷ τούτῳ ἐκείνῳ σώματι τοῦ Χριστοῦ, οὔτε νῦν σφαζομένῳ καὶ θυομένῳ πραγματικῶς, ἅπαξ, ἀλλ' εἰς τὸ τότε μόνον ἅπαξ παθὸν καὶ τεθυμένον, νῦν δὲ ἀπαθὲς καὶ ἀθάνατον ἐν οὐρανοῖς ἐκ δεξιῶν τοῦ πατρὸς ἱδρυμένον μεταβεβλημένῳ, μόνα δὲ κατὰ ἀνάμνησιν τὰ σύμβολα δεχομένῳ τοῦ πάθους. οὐ γὰρ καὶ νῦν σφαγὴ καὶ θυσία ἀλλ' ἀνάμνησις μόνον σφαγῆς καὶ θυσίας, πραγματικὴ δὲ μόνον μεταβολὴ εἰς τὸ ἅπαξ ἐσφαγμένον καὶ τεθυμένον, νῦν δὲ ἀπαθὲς καὶ ἐν οὐρανοῖς ἱδρυμένον. τοῦτο οὖν τὸ ἐν οὐρανοῖς ἱδρυμένον πεπονθὸς μὲν νῦν δὲ ἀπαθὲς καὶ ἀθάνατον οἱ πιστοὶ μεταλαμβάνομεν οὐκ αὐτοπροσώπως ἐκεῖνο, ἀλλὰ διὰ τῶν αὐτὸ τοῦτο ἐκεῖνο γεγενημένων, ἃ καὶ συμπαραμένει, φησὶν ὁ Ἰσίδωρος, εἰς

φ. 165β

αἰῶνα ταῖς τῶν δικαίων ψυχαῖς τῶν συμβεβηκότων δηλ. ἀποσπασθέντων. οὐ γάρ ϗ ταῦτα εἰς ψυχήν διαβαίνει ἀλλότρια ὄντα, ϗ ἄρτου ϗ οἴνου συμβεβηκότα· τά μέν γάρ συμβεβηκότα οὐ δύνανται εἶναι τοῦ ὑποκειμένου χωρίς, ἡ δ' οὐσία δύναται χωρίζεσθαι τῶν συμβεβηκότων ϗ μένειν καθ' ἑαυτήν, ὁποῖον ϗ τό κυριακόν σῶμα οὐκ εἰς ἀφεδρῶνα ἐκβάλλεται ἀλλ' εὐθέως ἀπαρτιζόμενον, φησί, τῇ τῆς ψυχῆς οὐσίᾳ δίδοται ἀλλά ϗ συμπαραμένει, φησίν, εἰς αἰῶνα ταῖς τῶν δικαίων ψυχαῖς. Ὁ Κωνσταντινοπόλεως Ἱερεμίας κεφ. α' τῆς πρώτης πρός Λούτερον ἐπιστολῆς. "οὐκ μήν τότε δοθείσης τῆς σαρκός τοῦ κυρίου, ἥν ἐφόρει, εἰς βρῶσιν τοῖς ἀποστόλοις ϗ τοῦ αἵματος εἰς πόσιν, ἤ νῦν ἐν τῇ θείᾳ μυσταγωγίᾳ καταβαίνοντος τοῦ κυριακοῦ σώματος ἐξ οὐρανοῦ· βλάσφημον γάρ· ἀλλά ϗ τότε ϗ νῦν μεταποιουμένου ϗ μεταβαλλομένου τῇ ἐπικλήσει ϗ χάριτι τοῦ παντοδυνάμου πνεύματος. τοῦ μέν ἄρτου εἰς αὐτό τό ἴδιον κυρίου σῶμα, τοῦ δέ οἴνου εἰς αὐτό τό τοῦ κυρίου αἷμα. ὁ ἄρτος γάρ, φησίν, ὅν ἐγώ δώσω ἡ σάρξ μου ἐστίν

1 Ἴδε Συμβ. Μεσολωρᾶ Τομ. Α' σ. 147.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἰ καθ᾽ οὕτως ἔχει, λογιώτατε κύρ Σεβαστέ, οὐ δύναμαι κατανοεῖν πῶς οὐ γίνεται καινὸν τοῦ Χριστοῦ σῶμα καὶ καινὸν αἷμα; καὶ ποίησον τὴν λύσιν καὶ τὴν πληροφορίαν τοῦ λόγου.

Λύσις τὸ γ᾽ ἐφ᾽ ἡμῖν τοῦ ζητουμένου.

Ἐν τοῖς προσσημειωμένοις ἡμῖν πρὸς τὸν λογιώτατον ἀρχιμανδρίτην Χρύσανθον πρὸς τοῖς ἄλλοις καὶ περὶ τουτοῒ τοῦ σκέμματος τὸ γ᾽ εἰς ἡμᾶς ἧκον ἀποχρώντως διήρθρωται. ἀλλὰ καὶ νῦν ὀλίγ᾽ ἄττα ὑπομνηστέον κελεύοντι. ἀλλ᾽ ὅτι μὲν ὁ τοῦ κόσμου παντὸς ὀφθαλμός, ὁ λαμπρότατος καὶ ἀστραπόμορφος αἰσθητὸς οὗτος ἥλιος οὐ δεῖταί ποτε εἰς φαῦσιν ἀμαυροτάτου καὶ λυχνιαίου φωτός, οὔτε μὴν ὁ πασῶν θαλασσῶν καὶ ποταμῶν ἁπάντων καὶ πάντων ὑδάτων πατὴρ ὠκεανὸς εἰς ἄρδευσιν ψεκάδος τινὸς βραχυτάτης, οὕτως οὐδ᾽ ἡ ὑμετέρα θεόσοφος μακαριότης ὡς οὖσα, ἵν᾽ οὕτως εἴπω, θεολογίας πηγὴ καὶ ὑπέρλαμπρος τοῦ στερεώματος τῆς ἐκκλησίας φωστὴρ δεῖταί ποτε ταύτης τινὸς ἐπιθεραπείας εἰς κατανόησιν τῶν φρικτῶν τουτωνὶ μυστηρίων, μή τοίγε παρ᾽ ἡμῶν τῶν εὐτελῶν καὶ ἀμαθῶν καὶ ἀχρείων, ἀλλ᾽ οὐδὲ παρ᾽ ἄλλου τινὸς τῶν ἐν τοῖς καθ᾽ ἡμᾶς χρόνοις μάλιστα περὶ τὰ τοιαῦτα διὰ βίου ἐσχολακότων, τί δὲ τῶν καθ᾽ ἡμᾶς; ἀλλ᾽ οὐδέ που τῶν παλαιῶν καὶ ἱερῶν διδασκάλων τῆς ἐκκλησίας.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οἶμαι γάρ ἤ ϗ πεπείραμαι, ὡς οὐδείς πώποτε τῶν ἀπ' αἰῶνος τοσαύτης ϗ τηλικαύτης ηὐμοίρησεν εὐτυχίας ὅσης ϗ οἵας ἡ ὑμετέρα μακαριότης. οὔκουν (οὖν) παρ' ἡμῶν τι περί τοῦ προκειμένου σκέμματος ζητεῖ μαθεῖν. πῶς γάρ; ἀλλά τό δοκοῦν γοῦν ἡμῖν περί τούτου ϗ μόνον οἶμαι ὑπομνῆσαι, ὅ δή ϗ ποιήσομεν, ὅπως ἂν ἔχοιμεν τῷ θείῳ ϗ πατρικῷ κελεύσματι καθυπείκοντες. ἐκεῖνο μέν οὖν καίπερ εἰδόσι περιττόν τῶν ἄλλων ὑπομνῆσαι, ὡς ϗ τ' ἄλλα μέν ὑπέρ κα-

φ. 166α τάληψιν ἡμετέραν τά θεῖα τῆς ἐκκλησίας μυστήρια, ἐπέκεινα δέ πάντων τό ὑπερφυέστατον τουτί μυστήριον τῆς εὐχαριστίας, ϗ ὅτι οὐδείς τοῦτο λόγος ἐξικνεῖν ἱκανός, ϗ ὅτι πίστει ϗ μόνῃ δεῖται τά ὑπέρ λόγον ϗ ἔννοιαν παραδέξασθαι, ἵνα μή κενωθῇ, φησίν, ὁ σταυρός τοῦ Χριστοῦ λογισμοῖς ἀνθρωπίνοις τεχνολογούμενος, ἀλλ' ἀπεριέργως ϗ ἀνεξετάστως παραδεχόμενος. "ὃς οὖν γάρ, φησίν, οὐ συντριβήσεται ἀπ' αὐτοῦ, ἀλλά περί ϗ μόνῳ καταναλωθήσεται". τά γάρ μή δυνάμενα τοῖς ὀδοῦσι κατεργασθῆναι ϗ λογισμοῖς ἀνθρωπίνοις καταλαμβάνεσθαι πίστει ϗ μόνῃ ϗ ταύτῃ ζεούσῃ δεῖ παραδέχεσθαι. οὐ μέντοιγε ἁπλῶς οὕτως ἀπεριμερίμνως ϗ ἀνεξετάστως ὀφείλομεν, ὥστε δή ϗ τά τυχόντα ὡς ἀληθῆ ϗ τα ψευδῆ παραδέχεσθαι ϗ πιστεύειν, ἀλλά ϗ δοκιμάζειν τά πνεύματα κατά τόν υἱόν τῆς βροντῆς ϗ τάς γραφάς ἐρευνᾶν εὐαγγελικῶς προστάττεται, ϗ δοκιμάζειν κατά τόν θεῖον ἀπό-

στολον τί ἐστιν εὐάρεστον τῷ κυρίου ἐκλόγου (sic) δοκιμασίας οἱ λόγου μετέχοντες ἐκ τῶν θεοπαραδότων ἀρχῶν ἀφορμώμενοι, ὅσοις τὴν θεόσδοτον ἐξ αὐτῶν σοφίαν ἀμεταστρέπτως ἐκμάθωσιν, ἀλλὰ μὴ λογισμοῖς ἀνθρωπίνοις ἤτοι θεσμοῖς καὶ ἐπισφαλέσι παρασυρ[θ]ῶμεν. Ὅτι μὲν οὖν ὃ μεταλαμβάνομεν οἱ πιστοὶ σῶμα καὶ αἷμα Χριστοῦ ἐστιν αὐτὸ τοῦτο ἐκεῖνο τὸ ἐκ πνεύματος ἁγίου συλληφθὲν καὶ ἐκ παρθένου τεχθὲν καὶ παθὸν καὶ σταυρωθὲν καὶ ταφὲν καὶ ἀναστὰν καὶ ἀναληφθὲν ἀφ' ἡμῶν εἰς τοὺς οὐρανοὺς καὶ ἐν δεξιᾷ καθῆσαν τοῦ θεοῦ καὶ πατρός, καὶ οὐχ ἕτερον οἷον ἐκεῖνο, κοινὸν τοῦτο δόγμα τῆς ἁγίας ἡμῶν ἐκκλησίας καὶ οὐδεὶς εὐσεβῶν ἀντερεῖ. ὡς δὲ καὶ οἰκονόμως ὁ κύριος εἰς μετάληψιν ἑαυτὸν παρεδίδου τοῖς ἀποστόλοις, τὸν ἐν χερσὶ φερόμενον ἑαυτὸν παρεδίδου καὶ οὐ τὸν φέροντα, καίτοι εἷς καὶ ὁ αὐτὸς τὸ φέρων καὶ οὐ καινὸς ἄλλος, οἷος αὐτός. κἀκεῖνο δέ, ὅτι οὐ κατέρχεται ἄνωθεν τὸ ἀκήρατον ἐκεῖνο σῶμα ἐν ταῖς κατὰ μέρος ἱερουργουμέναις θυσίαις, ἀλλ' ἐκεῖσε μένει μέχρι συντελείας αἰῶνος. καὶ ταῦτα μὲν παρὰ τοῖς ὀρθοδόξοις ὁμολογούμενα, ὡς καὶ ὁ ἱερώτατος οὗτος διδάσκαλος καὶ οἰκουμενικὸς πατριάρχης Ἱερεμίας ἐπιβεβαιοῖ καὶ ἡ παναρμόνιος καὶ πνευματικὴ κιθάρα τῆς ἐκκλησίας ὁ ἐκ Δαμασκοῦ θεολόγος ἐπιμαρτύρει-

Τῶν ἀπαραλλάκτων καὶ ὁ φέρων καὶ ὁ φερόμενος, ὅτι καὶ ὁ φερόμενος αὐτὸς ἦν

οἶμαι γάρ ἢ καὶ πεπείραμαι, ὡς οὐδεὶς πώποτε τῶν ἀπ' αἰῶνος τοσαύτης καὶ τηλικαύτης ἐπεμοίρησεν εὐχαριστίας ὅσης καὶ οἵας ἡ ἡμετέρα μακαριότης. οὔκουν(οὖν) παρ' ἡμῶν τι περί τοῦ προκειμένου σκέμματος ζητεῖ μαθεῖν. πῶς γάρ; ἀλλά τὸ δοκοῦν γοῦν ἡμῖν περί τούτου καὶ μόνον οἶμαι ὑποσημήνασθαι, ὃ δὴ καὶ ποιήσομεν, ὅπως ἂν ἔχομεν τῷ θείῳ καὶ πατρικῷ κελεύσματι καθυπείκοντες. ἐκεῖνο μὲν οὖν καίπερ εἰδόσι προὔργου τῶν ἄλλων ὑπομνηστέον, ὡς καὶ τ' ἄλλα μὲν ὑπὲρ κα-
φ. 166a τάληψιν ἡμετέραν τὰ θεῖα τῆς ἐκκλησίας μυστήρια, ἐξαίρετα δὲ πάντων τὸ ὑπερφυέστατον τουτί μυστήριον τῆς εὐχαριστίας, καὶ ὅτι οὐδεὶς τοῦτο λόγος ἐξικνεῖσθαι ἱκανός, καὶ ὅτι πίστει καὶ μόνῃ δεῖται τὰ ὑπὲρ λόγον καὶ ἔννοιαν παραδέξασθαι, ἵνα μὴ κενωθῇ, φησίν, ὁ σταυρὸς τοῦ Χριστοῦ λογισμοῖς ἀνθρωπίνοις τεχνολογούμενος, ἀλλ' ἀπεριέργως καὶ ἀνεξ[ε]τάστως παραδεχόμενος. "ὀστοῦν γάρ, φησίν, οὐ συντριβήσεται ἀπ' αὐτοῦ, ἀλλά πυρί καὶ μόνῳ καταναλωθήσεται". τὰ γὰρ μὴ δυνάμενα τοῖς ὀδοῦσι κατεργασθῆναι καὶ λογισμοῖς ἀνθρωπίνοις καταλαμβάνεσθαι πίστει καὶ μόνῃ καὶ ταύτῃ ζεούσῃ δεῖ παραδέχεσθαι. οὐ μέντοι γε ἁπλῶς οὕτως ἀπεριμερίμνως καὶ ἀνεξετάστως ὀφείλομεν, ὥστε δὴ καὶ τὰ τυχόντα καὶ ἀληθῆ καὶ τὰ ψευδῆ παραδέχεσθαι καὶ πιστεύειν, ἀλλὰ καὶ δοκιμάζειν τὰ πνεύματα κατὰ τὸν υἱὸν τῆς βροντῆς καὶ τὰς γραφὰς ἐρευνᾶν εὐαγγελικῶς προστετάγμεθα, καὶ δοκιμάζειν κατὰ τὸν θεῖον ἀπό-

σκοπὸν τί ἐστιν εὐάρεστον τῷ κυρίῳ ἐκ λόγου (sic) δοκιμασίας οἱ λόγου μετέχοντες ἐκ τῶν θεοπαραδότων ἀρχῶν ἀφορμώμενοι, ὅπως τὴν θεόσδοτον ἐξ αὐτῶν σοφίαν ἀμεμπτέπως ἐκμάθωμεν, ἀλλὰ μὴ λογισμοῖς ἀνθρωπίνοις ἤτοι θελοῖς καὶ ἐπισφαλέσι παρασυρ[θ]ῶμεν. Ὅτι μὲν οὖν ὃ μεταλαμβάνομεν οἱ πιστοὶ σῶμα καὶ αἷμα Χριστοῦ ἐστιν αὐτὸ τοῦτο ἐκεῖνο τὸ ἐκ πνεύματος ἁγίου συλληφθὲν καὶ ἐκ παρθένου τεχθὲν καὶ παθὸν καὶ σταυρωθὲν καὶ ταφὲν καὶ ἀναστὰν καὶ ἀναληφθὲν ἀφ' ἡμῶν εἰς τοὺς οὐρανοὺς καὶ ἐν δεξιᾷ καθῆσαν τοῦ θεοῦ καὶ πατρός, καὶ οὐχ ἕτερον οἷον ἐκεῖνο, κοινὸν τοῦτο δόγμα τῆς ἁγίας ἡμῶν ἐκκλησίας καὶ οὐδεὶς εὐσεβῶν ἀντιρρεῖ. ὡς δὲ καὶ οἰκονομικῶς ὁ κύριος εἰς μετάληψιν ἑαυτὸν παρεδίδου τοῖς ἀποστόλοις, τὸν ἐν χερσὶ φερόμενον ἑαυτὸν παρεδίδου καὶ οὐ τὸν φέροντα, καίπερ εἷς καὶ ὁ αὐτὸς τὸ φέρων καὶ οὐ καινὸς ἄλλος, οἷος αὐτός. κἀκεῖνο δέ, ὅτι οὐ κατέρχεται ἄνωθεν τὸ ἀκήρατον ἐκεῖνο σῶμα ἐν ταῖς κατὰ μέρος ἱερουργουμέναις θυσίαις, ἀλλ' ἐκεῖσε μένει μέχρι συντελείας αἰῶνος. καὶ ταῦτα μὲν παρὰ τοῖς ὀρθοδόξοις ὁμολογούμενα, ὡς καὶ ὁ ἐρώτατος οὗτος διδάσκαλος καὶ οἰκουμενικὸς πατριάρχης Ἱερεμίας ἐπιβεβαιοῖ καὶ ἡ παναρμόνιος καὶ πνευματικὴ κιθάρα τῆς ἐκκλησίας ὁ ἐκ Δαμασκοῦ θεολόγος ἐπιμαρτύρει-

Τῶν ἀπαραλλάκτως καὶ ὁ φέρων καὶ ὁ φερόμενος, ὅτι καὶ ὁ φερόμενος αὐτὸς ἦν

ται. ϗ Νικόλαος ὁ Καβάσιλας ἐν τῷ περὶ τῆς θείας ἱερουργίας ϗ συχνοὶ ἕτεροι, ὡς ἐν ἄλλοις προσεσημείωται. ϗ ὅτι τὰ καθ' ἑκάστην ἐν πολλοῖς καιροῖς ϗ τόποις ἱερουργούμενα, οὐκ εἰσὶν ἄλλο σῶμα καινὸν παρὰ τὸ ἐν οὐρανοῖς ἱδρυμένον, ἀλλὰ πάντα ταῦτά εἰσιν ἓν ἀριθμῷ ϗ ταυτὸν ἐκείνῳ ϗ οὐδὲν ἕτερον, ἀλλ' αὐτὸ τοῦτο ἐκεῖνο ϗ τοῦτο κοινὸν δόγμα τῆς ἁγίας ἡμῶν ἐκκλησίας ϗ παρὰ πᾶσιν ἀποδεκτὸν τοῖς εὐσεβεῖν αἱρουμένοις. πῶς δὲ τὸ αὐτὸ ϗ ἓν ἀριθμῷ ϗ ἐν οὐρανοῖς ἐκ δεξιῶν τοῦ πατρὸς ἐστιν ἱδρυμένον ϗ ἐν ἡμῖν ἐπὶ γῆς ϗ ἐν διαφόροις καιροῖς ϗ τόποις; ἢ πῶς ἐν τῷ φρικτῷ δείπνῳ ὁ αὐτὸς ϗ εἷς ἦν ϗ ὁ φέρων ϗ ὁ φερόμενος, ϗ ὅσα ἄλλα τοιαῦτα συχνὰ μυστήρια τῆς ἁγίας ἡμῶν ἐκκλησίας, οὐδὲν πολυπραγμονεῖν ϗ περιεργάζεσθαι· "σιγάσθω γὰρ τὸ πῶς", φησὶν ὁ μέγας Βασί-
φ. 166ε λειος ἐν τῷ εἰς τὴν ἁγίαν τοῦ Χριστοῦ γέννησιν αὐτοῦ λόγῳ, ἀλλὰ μόνον πιστεύειν ϗ ἀδιστάκτως οὕτως ἔχοντα παραδέχεσθαι, ὅτι θεῖα ϗ οὐκ ἀνθρώπινα, ϗ μὴ ἐκκαλεῖν δεῖ μὴ ληπτὰ ἡμῖν τὰ παντάπασιν ἀκατάληπτα, εἰδότας ὅτι τὰ παρὰ ἀνθρώποις ἀδύνατα δυνατὰ εἰσὶ παρὰ τῷ θεῷ, κἂν ὁ τρόπος τῆς τούτων γνώσεως ἡμῖν ἀκατάληπτος· ἐπεὶ ϗ τῶν κατὰ φύσιν αὐτῶν γιγνομένων τὰ πλεῖστα τὴν ἀνθρωπίνην διαπέφευγε κατανόησιν ϗ περὶ τὰ δοκοῦντα γνωστὰ πρὸς ἀλλήλους οὕτω διενηνόχασιν οἱ περὶ τὰ ται-

αὐτὰ δεινοί, ὥστε καὶ διϊσχυρίζεσθαι τἀναντία ὑγραίνειν. ἐπεὶ δὲ δεῖ ἡμᾶς ἑτοίμους εἶναι κατὰ τὸν θεῖον ἀπόστολον παντὶ τῷ αἰτοῦντι διδόναι λόγον, τὸν ἐνόντα τρόπον, κἂν ὑπὲρ λόγον ᾖ τὸ ζητούμενον, ἐν ὀλίγοις ὅμως καὶ πάλιν θεραπευτέον. φαμὲν δὴ ταῖς θεοπειθέσιν ὑμῶν εὐχαῖς τειχιζόμενοι, καὶ τῷ θείῳ καὶ πατρικῷ κελεύσματι καθυπείκοντες, εἴ τι καὶ ἂν ὁ θεὸς ἡμῖν ἡμῶν ἐμπνεύσοι πρὸς παραμυθίαν τινὰ τῶν ἀπορουμένων, ἔκ τε τῶν καθ' ἡμᾶς καὶ τῶν αἰσθητῶν τὰ ὑπὲρ ἡμᾶς καὶ τὴν αἴσθησιν τεκμαιρόμενοι κατὰ τοὺς ἱεροὺς διδασκάλους τῆς ἁγίας ἡμῶν ἐκκλησίας, καὶ δὴ λέγομεν, ὅτι ὥσπερ ὁ προσφερόμενος λόγος εἷς καὶ ὁ αὐτός ἐστιν ἀριθμῷ, ἔν τε τῷ λέγοντι κἂν τοῖς ἀκούουσι, καὶ ὁ αὐτὸς καὶ εἷς ἀριθμῷ, κἂν τοῦ αὐτοῦ καὶ ἑνὸς ἀριθμῷ στόματος προερχόμενος, εἰ καὶ δοκεῖ συμμοχηθύνεσθαι τοῖς ἀκροαταῖς, ἀλλὰ μᾶλλον τῷ γ' ἑαυτῷ εἰς ἑνότητα πάντας συνάγει· ἓν ὑπόσον (;) γάρ τι ἕν, εἴτε κατὰ γένος, εἴτε κατ' εἶδος, εἴτε κατ' ἀριθμόν. οὕτως οὖν καὶ τὸ κυριακὸν σῶμα καὶ ἐν οὐρανοῖς ἐκ δεξιῶν τοῦ πατρός ἐστιν ἱδρυμένον καὶ ἐν ταῖς κατὰ μέρος ἱερουργουμέναις θυσίαις, ἕν τε ταὐτόν ἐστιν ἐν πᾶσιν αὐτὸ ἑαυτῷ, καὶ τοὺς μετέχοντας εἰς ἑνότητα πάντας συνάγει τῷ ἀριθμῷ, καὶ ἓν σῶμα ἀποτελεῖ κατὰ

τὸν θεῖον ἀπόστολον τῆς ἁγίας τοῦ Χριστοῦ ἐκκλησίας, ὑπὸ μίαν
κεφαλὴν τὸν Χριστόν· εἰ γὰρ ἡ κεφαλὴ ἀριθμῷ ἐστι μία καὶ τὸ σῶ-
μα πάντως ἀριθμῷ ἐστιν ἕν· οὐ γὰρ μερίζεται τὸ Χριστοῦ σῶμα
εἰς πολλὰ καὶ διάφορα σώματα, ὥσπερ οὐδὲ τὸ τοῦ Πέτρου ἢ Παύλου
καὶ ὥσπερ ὁ αὐτὸς καὶ εἷς ἀριθμῷ ἐστιν ἥλιος ἐν τῷ οὐρανῷ καὶ ἐν τοῖς
ὑποκειμένοις πλείοσιν ὁ αὐτὸς ἐπὶ γῆς ἐνορᾶται κατόπτροις καὶ
οὐδὲν αὐτὸς ἑαυτοῦ διενηνοχὼς καὶ ἕκαστος τῶν τὰ κάτοπτρα τε-
τεχόντων ὁλόκληρον ἔχει τὸν ἥλιον, καὶ ἐν ἑκάστῳ ἐστὶν ἰδίᾳ καὶ
ἐν πᾶσιν ἐστὶν ὁ αὐτὸς καὶ εἷς, οὕτω καὶ τὸ κυριακὸν σῶμα ἐν
ἑκάστῳ τῶν μεταλαμβανόντων ἰδίᾳ, καὶ ἐν πᾶσιν ἐν οὐρανῷ καὶ ἐπὶ
γῆς ἐστι τὸ αὐτὸ καὶ ἓν κατ' οὐδὲν διαφέρον αὐτὸ ἑαυτοῦ. καὶ
ὥσπερ ὑπὸ μιᾶς καὶ τῆς αὐτῆς σφραγῖδος πολλοὶ ἐκτυποῦνται
κηροὶ κατὰ διαφόρους καιροὺς καὶ τόπους, ὅμως ὁ αὐτὸς
καὶ εἷς ἐν πᾶσιν ἐστι χαρακτὴρ εἰ καὶ δοκεῖ συμπληθύνεσθαι
τοῖς ὑποκειμένοις καὶ ὑποδεχομένοις τὸν χαρακτῆρα κηροῖς
φ. 167α καὶ πολλαὶ μὲν εἰσιν αἱ τοῦ σωτῆρος εἰκόνες, ἀλλ' ὁ αὐτὸς καὶ εἷς
ἐν πᾶσιν ἐνορᾶται Χριστός. καὶ ὥσπερ ὀνόματα πολλὰ εἰσὶ τοῦ
αὐτοῦ καὶ ἑνὸς θεοῦ ἐν πολλοῖς καιροῖς καὶ τόποις καὶ βίβλοις καὶ
διαλέκτοις γραφόμενα καὶ λεγόμενα τὸ σημαινόμενον ὅμως
ὑπὸ πάντων ἕν ἐστι, καὶ ταὐτὸν ἀπαράλλακτον αὐτὸ ἑαυτῷ,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μηδεμίαν παραλλαγὴν ἐπιδεχόμενον παρὰ τὴν κοινὴν διαφοράν. οὕτω δὴ καὶ τὸ κυριακὸν σῶμα καὶ πρωτοτύπως ἐν οὐρανοῖς ἐκ δεξιῶν τοῦ Πατρὸς ἱδρυμένον καὶ διὰ βίου ἐν τοῖς κατὰ μέρος ἱερουργούμενον, ἀπαραλλάκτως ἐν πᾶσιν ἐστὶ τὸ αὐτὸ καὶ οὐδὲν καινὸν ἢ πρόσφατον, ἀλλὰ τὸ νῦν ὂν πρότερον ἦν καὶ πρὶν ἱερουργηθῆναι, καὶ τὸ πρότερον ὂν νῦν ἱερουργεῖται καὶ θύεται οὐ πολλάκις ἀλλ' ἅπαξ ἑαυτὸν ἀνενέγκας ἐπὶ Ποντίου Πιλάτου· οὐ γὰρ καὶ νῦν σφαγιάζεται, ἀλλ' εἰς τὸ ἐσφαγμένον καὶ τεθυμένον, φησὶ καὶ ὁ Καβάσιλας, ὁ ἄρτος καὶ ὁ οἶνος μεταποιοῦνται, καὶ οὐδὲν καινὸν ἢ πρόσφατον ἐν αὐτοῖς θεωρεῖται. διὸ καὶ ὁ θεῖος φησὶν ἀπόστολος "Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν οὐκέτι ἀποθνήσκει, θάνατος αὐτοῦ οὐκέτι κυριεύει" διὰ γὰρ τοῦτο καὶ πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς, ὅτι πρῶτος ἐκ νεκρῶν ἀναστὰς οὐκέτι ἀποθνήσκει κτλ. ὥσπερ οὖν ἐπὶ τῆς ἀπαραλλάκτου ἑνότητος τῶν ἐκτεθέντων ὑποδειγμάτων οὐκ ἔστιν οὐδενὶ ἀντιλέγειν, ὥστε μὴ οὕτως ἔχειν οὐδ' ἐρυγγάνειν πολλῷ μᾶλλον ἐπὶ τῶν κρειττόνων καὶ τῶν ὑπὲρ φύσιν ἀληθῆ τὰ λεγόμενα, καὶ ἀμφισβητεῖν οὐδὲν οὐδενὶ περιλείπεται.

Ὁ οὖν Σωτὴρ διὰ τῆς εὐχαριστίας καὶ εὐλογίας καὶ ἁγιασμοῦ ἐν τῷ μυστικῷ δείπνῳ μεταβαλὼν τὸν ἐν χερσὶν ἄρτον καὶ οἶνον

ὡς τὸ ἴδιον σῶμα καὶ αἷμα κατεῖχεν αὐτὸς ἑαυτὸν ὡς ἐν κατόπτρῳ αὐτὸς ἑαυτὸν ἐνορῶν καὶ κατέχων ἐν τοῖς συμβόλοις τοῦ ἄρτου καὶ τοῦ οἴνου οὐ καινὸς καὶ ἐν ἐκείνοις, ἄπαγε, ἄλλος αὐτὸς γεγονώς, ἀλλ᾽ ὅσπερ πρότερον οὗτος ἦν, ἤδη παρῆν ὁ ὁρῶν ἐν τοῖς ἱεροῖς ἐκείνοις συμβόλοις.

Καὶ τὰ πανταχῆ δὲ κατὰ μέρος ἱερουργούμενα, εἰ καὶ δοκοῦσιν ἀλλήλων ἀριθμῷ διενηνοχέναι καὶ τόπῳ καὶ χρόνῳ καὶ τοῖς τοιούτοις συμβεβηκόσιν, ἀλλά γε τῷ ὑποκειμένῳ καὶ τῇ ἀληθείᾳ οὐδὲν οὐδαμῇ διαφέρουσιν ὡς προείρηται· ἐπειδὴ γὰρ εἰς ἓν μεταβάλλουσι κυριακὸν φ.167ε σῶμα, οὐδὲν οὐδαμῇ διενήνοχεν αὐτὸ ἑαυτοῦ, ταύτῃ τοι καὶ πάντα ταῦτα πάντῃ καὶ πάντως ἀπαραλλάκτως εἰσὶν ἓν καὶ ταυτὸν ἀριθμῷ καὶ τόπῳ καὶ χρόνῳ καὶ τοῖς λοιποῖς, ὃν τρόπον εἴρηται καὶ ἀνωτέρω περὶ τῶν τοῦ ἡλίου ἐμφάσεων, ὅτε καθ᾽ ἑαυτὰς ἕν εἰσιν καὶ ταυτὸν ἀλλήλοις, τῷ τὸν αὐτὸν εἶναι καὶ ἕνα πάντῃ καὶ πάντως τὸν ἐμφαίνοντα ἥλιον, ὥσπερ καὶ ὁ ἐν ταῖς ἀκροαταῖς κἂν τῷ διδάσκοντι λόγος ἀπαραλλάκτως ἐστὶν ὁ αὐτός, ὡς ὑφ᾽ ἑνὸς ὁ αὐτὸς καὶ εἷς διδασκόμενος, καὶ ὁ ἐν τοῖς πολλοῖς κηροῖς τυπωθεὶς χαρακτὴρ τῷ ὑπὸ μιᾶς καὶ τῆς αὐτῆς ἀπαραλλάκτου σφραγῖδος ἐνσημανθῆναι, καὶ τὸ ὑπὸ τῶν αὐτῶν σημαινόμενον ἢ εἰκονιζόμενον ἓν ὂν ἀπαραλλάκτως αὐτὸ καθ᾽ ἑαυτό. πάντα γὰρ τὰ τοιαῦτα διὰ τὰ ἐπισυμβεβηκότα δοκοῦσιν εἶναι καινά, καὶ πολλὰ καὶ διάφορα, τῇ δ᾽ ἀληθείᾳ ἓν εἰσὶν ἀπαραλλάκτως αὐτὰ καθ᾽ αὐτὰ θεωρούμενα καὶ οὐ πλείω-

Ὅτι δὲ τὰ παραδείγματα τοῖς παραδειγματιζομένοις ἀπαράλλακτως οὐκ ἔστι τὰ αὐτά, οὐδεὶς ἀντερεῖ, ἵνα μή τι παράδειγμα γένηται αὐτὸ ἑαυτοῦ. ὅτι δὲ καὶ τὰ θεῖα καὶ τὰ ὑπερφυῆ τῶν κατὰ φύσιν καὶ τῶν ἄλλων ἁπάντων ὅλῳ τῷ γένει διενηνόχασιν, ἐπὶ δὲ τῶν πάντη ἑτερογενῶν, οὐκ ἔστιν ἀφ' ἑτέρου γένους μεταβάντας δεικνῦναί τι τῷ ἐν ἐκείνῳ τῷ γένει θεωρουμένων ἴδια, ὅτι μὴ μόνον ἐκ τῶν οἰκείων ἐκείνου ἀρχῶν· ἀπὸ γὰρ φυσικῶν ἀρχῶν κατὰ τοῦ φυσικοῦ σώματος τὰ οἰκεῖα συνάγεται πάθη, καὶ ἀπὸ μαθηματικῶν ἀρχῶν κατὰ τοῦ μαθηματικοῦ σώματος καὶ τοῦ ποσοῦ τὰ οἰκεῖα, καὶ τοῦτο πᾶσι δῆλον. καὶ τῶν μὲν ἄλλων ἐπιστημῶν αἱ ἀρχαὶ ὀφείλουσιν οἴκοθεν τὸ πιστὸν ἔχειν· κοιναὶ γάρ εἰσιν ἔννοιαι καὶ παρὰ πᾶσιν ὁμολογούμεναι· κἂν καὶ ποτε ἀμφισβητοῖντο ἐξ ἐπαγωγῆς δείκνυνται ἢ τῇ ἀναπτύξει τῶν ὅρων. αἱ δὲ τῆς ἡμετέρας θεοσοφίας ἀρχαὶ οὐδαμόθεν τὸ πιστὸν ἔχουσιν, ἀλλ' ἢ κατὰ τὸ "αὐτὸς ἔφα" φημὶ τὴν ἁγίαν Γραφήν, καὶ πίστεως δέονται μόνης, ἥτις ἐστὶ κατὰ τὸν ἀπόστολον "ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος οὐ βλεπομένων". οἱ οὖν τὴν πίστιν ἐπιγραφόμενοι, ἀλλὰ μὴ τὴν κάτω καὶ πατουμένην σοφίαν καὶ λογισμοῖς ἀνθρωπίνοις ἐναβρυνόμενοι πιστεύειν ὀφείλουσι ταῖς τοιαύταις θεοπαραδότοις ἀρχαῖς ἀνεξε-

γάστος ἀλλ' ἀπεριέργως τε καὶ ἀπολυπραγμόνως, εἰ καὶ φροντίζουσι τῆς ἑαυτῶν σωτηρίας, οὐκ ἐνὸν ἄλλως τῶν κρειττόνων τυχεῖν. ἔνθεν τοι καὶ μακαρίζονται μὲν οἱ πιστεύοντες ἐπιτιμῶνται δὲ οἱ βαρυκάρδιοι καὶ περίεργοι. καὶ πολλὰ μὲν καὶ μεγάλα καὶ ὁ μακάριος διδάσκαλος Παῦλος ἐν τῷ αὐτῷ κεφ. τὰ τῆς πίστεως κατορθώματά [εἰσι], πολλῷ δὲ τὰ τῆς ἀπιστίας ἐπιχείρα καὶ τῆς ἀσεβείας, ὧν ῥύσαιτο ἡμᾶς ὁ θεός. εἰ γὰρ Μωσῆς ἐκεῖνος ὁ μέγιστος καὶ νομοθέτης καὶ προφήτης καὶ φίλος θεοῦ καὶ θεὸς φαραὼ (sic) καὶ ὀγδοηκοντούτης εἰς θεωρίαν σχολάσας καὶ πάνυ ποθήσας καὶ αἰτηθεὶς τὰ ὀπίσθια μόνον εἶδε, φησί, τοῦ θεοῦ, καὶ εἰ Παῦλος ὁ εἰς τρίτον ἀρθεὶς οὐρανὸν ἐν θνητῷ σώματι καὶ τῶν ἀρρήτων μύστης καὶ μυσταγωγὸς δι' ἐσόπτρου βλέπει καὶ ἐν αἰνίγματι καὶ ἐκ μέρους, ἔστιν ὅστις μὴ μανεὶς λογισμοῖς ἰδίοις τὸ πᾶν ἐπιτρέψει τῆς ἀληθείας; ἥτις κατὰ τὸν Σολομῶντα παρὰ θεοῦ χορηγεῖται καὶ μόνου καὶ τοῖς ἀξίοις καὶ μόνοις· εἰς ἀσυνέτου γὰρ ψυχὴν οὐκ εἰσελεύσεται σοφία, καὶ μωρὸν δοχεῖον σαπρὸν οὐ ποιήσεται, καὶ τὰ ἅγια τοῖς ἁγίοις χορηγεῖται καὶ καθαροῖς, οὐ τοῖς βεβήλοις καὶ ἀκαθάρτοις, ὅτι ἅγιος ὁ θεὸς ἡ πηγὴ τῆς σοφίας καὶ ἁγίοις ἐπαναπαύεται. ἀλλὰ ταῦτα μὲν οὐχ ἑαυτοῖς εἰς τὸ παντελὲς ἀλλὰ τοῖς παρρησιάσασι καὶ θεοπτ

θείαις ὑμῶν εὐχαῖς διά τε τὴν ἀποστολικὴν ἐποχήν, ὡς εἴρηται, θαρροῦντες κατετολμήσαμεν. καὶ εἰ μὲν ἔτυχέ τινος ἐπιθεραπείας τὸ ἀπορούμενον, τῷ θεῷ χάρις· εἰ δὲ μή, ἀλλ᾽ οὖν διὰ τὴν ὑπακοήν ⟨γοῦν⟩ τὴν εὐλογίαν ἀπέδοτε, καὶ παρὰ τῶν ἐκδότων καὶ τῶν ἐχόντων τοῦ ποθουμένου τυχεῖν, φημὶ παρὰ τῶν ἱερῶν διδασκάλων τῆς ἐκκλησίας· κἂν τύχοιτε κοινωνῆσαι καὶ ἡμῖν τῶν τοιούτων καὶ αὐτοῖς γλιχομένοις, τῶν ἀγαθῶν· διὰ γὰρ δεσμὸν τέθεικε τὸ δίδαγμα. εἴθε δὲ κατὰ τάχος ἀξιώσαιτε[1] ἡμᾶς τῆς ἐπιποθήτης καὶ μακαριωτάτης ὑμῶν θέας καὶ ὁμιλίας. ἰδοὺ γὰρ προητοίμασεν ὑμῖν ὁ θεόστεπτος ἡγεμὼν καταθύμιον ἐνδιαίτημα, καὶ τὰ πάντα καλῶς ἔχει πρὸς τὴν θεοπρεπῆ ὑμῶν παρουσίαν. ἀλλὰ ταῦτα μὲν εἰς τοσοῦτον, αἱ δὲ θεοπειθεῖς ὑμῶν εὐχαὶ εἴησαν μεθ᾽ ἡμῶν ἐν βίῳ παντί· ἀμήν.

[1] ἀξιώσοιτε.